τοίους χειμῶνας μέχρι βροντῶν καὶ ἀστραπῶν καὶ τῶν τοιούτων. ὡσαύτως δὲ καὶ τὰ νέφη πόκοις ἐρίων ὄντα παραπλήσια προδηλωτικὰ ἐνίοτε γίνεται χειμώνων· αἵ τε συνιστάμεναι κατὰ καιροὺς ἴριδες χειμῶνα μὲν ἐξ εὐδίας, εὐδίαν δ' ἐκ χειμῶνος προσημαίνουσιν. καὶ ὡς ἐπίπαν συνελόντι εἰπεῖν αἱ καθόλου τοῦ ἀέρος ἐπιγινόμεναι ἰδιόχροοι φαντασίαι τοιαῦτα δηλοῦσι· τὰ γὰρ τῶν καθολικῶν ἀποτελέσματα ἤτοι διὰ τῶν ἐκλειπτικῶν ἐστιν ἢ διὰ τῶν ἐπιφανειῶν τῶν κλιμάτων, περὶ ἃ καὶ τὰ αἴτια τῶν συμβαινόντων ἀποτελεῖται.

10. οἱ δὲ συνιστάμενοι κομῆται καὶ τὰ ἄλλα ἀστροειδῆ σημεῖα γενόμενα κατὰ τοὺς ἐκλειπτικοὺς καιροὺς ἢ καὶ καθ' οἱονδήποτε χρόνον τοῖς τὰ τοιαῦτα ἐπιτηρεῖν ἐθέλουσι δῆλον ποιήσουσι διά τε τῶν

v. 1 μέχρι — τοιούτων] om. *LO* || v. 2 δὲ om. *LO* || v. 3 χειμώνων γίνονται καὶ αἱ *LO* || v. 4 κατὰ καιροὺς συνιστάμεναι *LO* || v. 5 ἐκ δὲ χειμῶνος εὐδίαν σημαίνουσιν *LO*, qui om. eum qui sequitur finem capitis || v. 6 συνελόντα *MN* || v. 10 κλημάτων *MN* || v. 12 – p. 24 v. 10 Ptolem. f. 23 vers. τηρητέον δὲ ἔτι καὶ τὰς συνισταμένας ἤτοι κατὰ τοὺς ἐκλειπτικοὺς καιροὺς ἢ καὶ ὁτεδήποτε κομητῶν ἐπιφανείας πρὸς τὰς καθόλου περιστάσεις οἷον τῶν καλουμένων δοκίδων ἢ σαλπίγγων ἢ πίθων . . . δηλούσας δὲ διὰ μὲν τῶν τοῦ ζῳδιακοῦ μερῶν, καθ' ὧν ἂν αἱ συστάσεις αὐτῶν φαίνωνται καὶ τῶν κατὰ τὰ σχήματα τῆς κόμης προσνεύσεων τοὺς τόπους οἷς ἐπισκήπτουσι τὰ συμπτώματα, διά τε τῶν αὐτῆς τῆς συστάσεως καὶ ὥσπερ μορφώσεων τότε εἶδος τοῦ ἀποτελέσματος καὶ τὸ γένος περὶ ὃ τὸ πάθος ἀποβήσεται, διὰ δὲ τοῦ χρόνου τῆς ἐπιμονῆς τὴν παράτασιν τῶν συμπτωμάτων, διὰ δὲ τῆς πρὸς τὸν ἥλιον σχέσεως τὴν καταρχήν, ἐπείπερ ἑῷοι μὲν ἐπιπολὺ φαινόμενοιτάχιον ἐπισημαίνουσιν, ἑσπέριοι δὲβράδιον. || v. 14 καὶ om. *L* || τοῖς — ἐθέλουσι] om. *LO* || v. 15 θέλουσι *N* ||

τοῦ ζωδιακοῦ κύκλου μερῶν, καθ' ὧν ἂν αἱ τοιαῦται γένωνται συστάσεις, διά τε τῶν κατὰ τὰ σχήματα τῆς κόμης προσνεύσεων ἢ τῶν τόπων, οἷς ἐπισκήπτουσι τὰ δι' αὐτοὺς ἐκβησόμενα, καὶ διὰ μὲν αὐτῆς τῆς συστάσεως καὶ ὡσανεὶ μορφώσεως τό τε εἶδος τοῦ ἀποτελέσματος καὶ τὸ γένος περὶ ὃ τὸ πάθος συμβήσεται, διὰ δὲ τοῦ χρόνου τῆς ἐπιμονῆς τὴν τῶν συμπτωμάτων παράτασιν, ἔστι δ' ὅτε καὶ διὰ τῆς πρὸς τὸν ἥλιον σχέσεως τὴν καταρχήν· ἑῷοι μὲν γὰρ ἐπιπολὺ φαινόμενοι τάχιον ἐπισημαίνουσι * καὶ τοσοῦτον μείζονας ὅσον ἂν ἐκ πλειόνων μερῶν καὶ ἐπιπολὺ ἡ σύστασις γίνηται. ἀλλ' εἰ καί ποτέ τινα τῶν πλανωμένων ταῖς κόμαις ἐπικαλύπτουσι, σαφῶς σημαίνουσι πρὸς τίνας ἔσται τὸ σύμπτωμα· τῷ μὲν γὰρ τοῦ Διὸς ἐπιφέροντες τὰς κόμας, περὶ τοὺς βασιλικοὺς οἴκους τὰς ταραχὰς ἀποτελοῦσι· τῷ δὲ τοῦ Ἄρεος ὅταν

διά τε τῶν τοῦ ζωδιακοῦ — συστάσεις (p. 24 v. 2)] om. *LO* || v. 2 γένωνται corr. Hercher pro γένοιντο || v. 3 ἐπισκοπῶσι *MN* || v. 7 τὴν παράτασιν τῶν συμπτωμάτων *LO* || v. 8 τῆς τοῦ ἡλίου *MN* || v. 9 ἑῷοι scripsi, εῷοι *LO*, οἱ *MN* || v. 10 φαινόμενοι] λεγόμενοι *LO* || lacunam, quae in nullo codice indicata est, probabiliter ex Ptolemaei loco, quem supra scripsi et eo, quem infra scribam, ita explebis: ἑσπέριοι δὲ βράχιον. αἱ μὲν τῶν κομητῶν συστροφαὶ πάντοτε αὐχμοὺς καὶ ἀνέμους προσημαίνουσι. || v. 10—12 Ptolem. fol. 26 vers. αἱ μὲν τῶν κομητῶν συστροφαὶ πάντοτε αὐχμοὺς καὶ ἀνέμους προσημαίνουσι καὶ τοσοῦτον μείζονας, ὅσον ἂν ἐκ πλειόνων μερῶν καὶ ἐπιπολὺ ἡ σύστασις ᾖ. || v. 10 τοσοῦτο *N*, τοσούτῳ *LO* || post τοσοῦτον add. δὲ *O* || v. 11 ὅσῳ *LO* || στάσις *M* || v. 12 γένηται *MNO* || ἀλλ' εἰ — πλανωμένων] διαφερόντως δὲ ὅταν *MN*, qui antea add. ea quae p. 22 v. 12—p. 23 v. 11 leguntur. || v. 13 ἐπικαλύπτωσι *MN* || σαφῶς — σύμπτωμα] τῶν πλανωμένων ἀστέρων *MN* || v. 15 ἐπιφέρειν *M* || v. 16 εἰ δὲ τῷ τοῦ Ἄρεος (om. ὅταν — κόμας) *LO* || ὅταν ἐπενέγκωσι] ἐπε-

ἐπενέγκωcι τὰc κόμαc τῶν ἐν τοῖc ὅπλοιc νόcουc τε καὶ θανάτουc, ἔτι δὲ καὶ πολέμων cτάcειc ἀποτελοῦcι· τῷ δὲ τῆc Ἀφροδίτηc γυναικῶν φθορὰν cημαίνει καὶ βαcιλίδων θανάτουc καὶ διαcτάcειc πολιτῶν· τῷ δὲ τοῦ Κρόνου καρπῶν ἐπιcχέcειc, ἤτοι cπάνειc· τῷ δὲ τοῦ Ἑρμοῦ ταραχὰc τοῖc cυναλλάγμαcι παρέξουcι καὶ φήμαc ἀηδεῖc τῷ πλήθει· τὸν γὰρ ἥλιον καὶ τὴν cελήνην ἀδύνατον περιλάμψαι κομήτην. εἰ δὲ φαίνεται, ἢ πρὸ ἀνατολῶν ἢ περὶ δυcμὰc περὶ τὸ διάφορον τῶν κλιμάτων τὴν κάκωcιν ποιήcει· ἐν μὲν ταῖc ἀνατολαῖc τὰ περὶ τὴν Ἀcίαν, πρὸc δὲ τῇ δύcει τὰ περὶ τὴν Εὐρώπην κακώcει· οὐ μέντοι τὸ τέλοc οὔτε τὴν τομὴν τῶν χρόνων παρέcτηcαν ὑπόcταcιν οἱ περὶ ταῦτα διατρίψαντεc. γίνονται δὲ καὶ ἐκ τῶν κατὰ μῆναc cυνόδων καὶ πανcελήνων, ὅταν οἱ λεγόμενοι κακοποιοὶ τούτοιc μαρτυρῶcι τῶν ἀγαθῶν μὴ cυcχηματιζομένων, ὀλίγαι τινὲc ἐναντιώcειc, αἳ ῥαδίωc λύονται διὰ τὸ μὴ κατὰ τὰc ἐκλείψειc τῶν φώτων τὰ τοιαῦτα ἀποτελεῖcθαι. διάφοροι δὲ αἱ τῶν κομητῶν ὄψειc, ὡc καὶ διάφορα ἄλλα. οὐ τὰ

νέγκειν *M* ‖ v. 1 τῶν] τὰc *MN* ‖ τε om. *LO* ‖ v. 3 γυναικῶν hic om., post cημαίνει (v. 4) add. *MN* ‖ φθορὰc *O* (om. cημαίνει) ‖ v. 4 καὶ διαcτάcειc πολιτῶν] om. *LO* ‖ πολιτῶν conieci, ποιούντων *MN* ‖ v. 5 ἐπίcχεcιν ἤτοι cπάνιν *LO* ‖ v. 8 καὶ] ἢ *LO* ‖ v. 9 φαίνοιτο *MN* ‖ περὶ ἀνατολὰc *M* ‖ v. 11 post μὲν add. γὰρ *M* ‖ τῇ ἀνατολῇ τὴν Ἀcίαν *LO* ‖ τὰ addidi ‖ ἐν δὲ τῇ *LO* ‖ v. 12 τὰ περὶ] om. *LO* ‖ οὐ μέντοι — διατρίψαντεc (v. 14) om. *LO* ‖ v. 14] δὲ om. *MN* ‖ v. 15 μῆνα *LO* ‖ v. 16 μαρτυρῶcι om. *LO* ‖ v. 17 ἀγαθοποιῶν *MN* ‖ μὴ] οὐ *N* ‖ v. 18 αἳ ῥαδίωc λύονται] ἄρα ἀϊδίωc δύνανται *MN* ‖ v. 19 τὰ τοιαῦτα] τοιούτουc *MN* ‖ v. 19 — p. 27 v. 5 e cod. *M* edidit Osann auctar. lexic. Graec. p. 103 ‖ v. 20 αἱ om. *MN* ‖ ὡc καὶ — πάντεc (p. 26 v. 1)] πυρρώδηc, πωγωνίαc, ἀκοντίαc, ξιφίαc, δίcκοc, πίθοc, κεράcτηc, λαμπαδίαc, ἵππευc, cάλ-

αὐτὰ δὲ ἀποτελοῦϲι· κακὰ δὲ πάντεϲ. ὁ μὲν γὰρ κομήτηϲ ἐϲτὶ πυρώδηϲ καὶ ταῖϲ κόμαιϲ αἱματώδηϲ· ὁ δὲ πωγωνίαϲ ἐκ τῶν κάτωθεν δίκην πώγωνοϲ ἔχει τὰϲ κόμαϲ. ὁ δὲ ἀκοντίαϲ ὅμοιόϲ ἐϲτιν ἀκοντίῳ καὶ ὥϲπερ ϲίδηροϲ κραδαίνεται (οὗ φανέντοϲ ἡ Ἰουδαία ἥλω, ὡϲ καὶ Εὐϲεβίῳ τῷ Παμφίλου εἴρηται)· ὁ δὲ ξιφίαϲ βραδύτεροϲ μὲν ὠχρὸϲ δὲ καὶ ξιφήρειϲ ἔχων τὰϲ ἀκτῖναϲ· ὁ δὲ δικεὺϲ δίϲκῳ παρεμφερὴϲ καὶ τὸ εἶδοϲ ὡϲ ἤλεκτροϲ· ὁ δὲ πίθοϲ καπνώδουϲ μὲν φωτὸϲ πλήρηϲ, τὸ δὲ ϲχῆμα ὅμοιοϲ τῇ προϲηγορίᾳ· μεθ' οὗ ὁ κεράϲτηϲ κερατοειδεῖϲ ἔχων τοὺϲ πλοκάμουϲ· ὁ λαμπαδίαϲ πρὸϲ τούτοιϲ ὅμοιοϲ λάμπαδι καιομένῃ· ἔϲτι γε μὴν ὁ ἵπποϲ ὁ καὶ ἱππεὺϲ καλούμενοϲ δίκην λοφιᾶϲ ἵπ-

πιγξ, τράγοϲ, τυφών. ὁμοῦ ιβ' (εἰϲι δώδεκα *L*) *LO* ‖ v. 1 δὲ post αὐτὰ om. *N* ‖ ἀποτελεῖν *N* ‖ v. 1 — p. 27 v. 2 Apulei. ap. Lyd. de mens. IIII 71 et Plin. II 89. 90, quorum disputationes in epimetro adnexui. ‖ post μὲν in *N* spatium 5 litter. ‖ κομήτηϲ] τῶν κομητῶν *M* ‖ v. 2 πυρώδηϲ ἐϲτὶ *M* ‖ καὶ — αἱματώδηϲ] om. *LO* ‖ ante ὁ add. *N* β̄ ‖ post δὲ add. *M* δεύτεροϲ ‖ v. 3 ἐκ τῶν] om. *LO* ‖ ἔχων *MN* ‖ v. 4 ante ὁ add. γ̄ *N* ‖ post δὲ add. τρίτοϲ *M* ‖ ἐϲτιν om. *M* ‖ καὶ ὥϲπερ] ὥϲπερ δὲ *LO* ‖ v. 5 οὗ] οὐ *MN* ‖ post φανέντοϲ add. δὲ *L* ‖ ἡ Ἰουδαία ἥλω] ἡ Ἰουδαία ἥλω (sprscr. ἑάλω) *L*, ἡλίου *M*, ἡ ἰδαία εἵλω *N* ‖ v. 6 ὁ δὲ] τέταρτοϲ ὁ *M*, δ̄. ὁ δὲ *N* ‖ βραχύτεροϲ *MN* ‖ v. 7 post μὲν add. γὰρ *N* ‖ v. 8 ὁ δὲ] πέμπτοϲ ὁ *M*, ε̄. ὁ δὲ *N* ‖ δικεὺϲ δίϲκῳ] δίϲκοϲ *LO* ‖ παρεμφερὴϲ corr. Hercher pro περιφερὴϲ ‖ ἴλεκτρον *N* ‖ v. 9 ὁ δὲ] ἕκτοϲ ὁ *M*, ϛ̄. ὁ δὲ *N* ‖ καπνώδηϲ *LO*, καπνώδη *M* ‖ v. 10 ὅμοιον *LO* ‖ τῇ προϲηγορίᾳ] πίθῳ *M*, πίθῳ τῇ θεωρίᾳ *N* ‖ μεθ' οὗ] ἕβδομοϲ *M*, ζ̄. μεθ' οὓϲ *N* ‖ v. 11 τοὺϲ om. *MN* ‖ ὁ] ὄγδοοϲ ὁ *M*, η̄ *N*, om. *O* ‖ v. 12 πρὸϲ τούτοιϲ] om. *M*, ante ὁ λαμπαδίαϲ transpon. *L* ‖ v. 13 ἔϲτι — καλούμενοϲ] ἔϲτι γε μὴν ὁ ἱππεὺϲ *L*, ἔνατοϲ ὁ ἵπποϲ, ὁ καὶ ἱππεὺϲ καλούμενοϲ *M*, θ̄. ἵπποϲ ἔτι γε μὴν ἤτοι ἱππεὺϲ *N*, ἔϲτι γε μὴν ἱππεὺϲ *O* ‖

που διαρραίνων τὰς ἀκτῖνας, ὀξύτατος δὲ παρὰ τοὺς ἄλλους (διὸ καὶ τοιαύτης ἔτυχε τῆς προσηγορίας). σάλπιγγος ἔτι μέμνηται ὁ Πτολεμαῖος ἐν τοῖς πρὸς Σύρον, περὶ οὗ εἰπεῖν τι οὐκ ἔχομεν· οὐδὲ γὰρ εὑρίσκομεν παρ' ἑτέρῳ τοιοῦτόν τι κατάστημα. γίνονται δὲ καὶ ἕτεροι κομῆται οἱ λεγόμενοι τράγοι, δίκην μαλλῶν ἢ πόκων ἐρίων νεφέλας τινὰς περικείμενοι· καὶ τὴν μὲν ἀρχὴν οὕτω φαίνονται, εἰς δοράτων δὲ σχῆμα ἀποτελοῦνται. οὗτοι δὲ πάντες οὐ πλείω ἢ ἐπὶ ἑπτὰ ἡμέρας πεφύκασι φαίνεσθαι· ἀλλ' οὐδὲ εἰκῇ ἐφ' οἱουδήποτε κλίματος τοῦ οὐρανοῦ, περὶ δὲ μόνον τὸν γαλαξίαν κατὰ τὸν Ἀριστοτέλην. οἵ γε μὴν τυφῶνες κατὰ τὸν νότιον πόλον, σφαῖραι δ' εἰσὶν οὐ-

v. 3 et 4 cf. Lyd. de mens. IIII 73. ὁ δὲ Πτολεμαῖος προστίθησι καὶ ἕτερον εἶδος κομήτου καλούμενον σάλπιγγα. apud Ptolem. reperitur in tetrab. II 8 f. 23 v. loco quem supra attuli. || v. 2 σάλπιγγος ἔτι] δέκατος ὁ σάλπιγγος οὗ *M*, ι̅. σάλπιγγος οὗ *N* || v. 4 γὰρ om. *O* || v. 5 ἑτέρων *MN* || post τι add. κομήτου *MN* || v. 5—9 Plin. II 90. *fiunt et hirci* (sic recte cod. Chifflet. et man. Dalec. i. e. τράγοι) *villorum specie et nube aliqua circumdati. semel adhuc iubae effigies mutata in hastam est.* || v. 8 δὲ om. *O* || v. 9 σχήματα *LO* || πλείω] an μείω? cf. Plin. II 90. *brevissimum quo cernerentur spatium VII dierum adnotatum est, longissimum LXXX;* sed cf. Lyd. p. 48 *B* || v. 10—12 Plin. II 91. *omnes ferme sub ipso septentrione aliqua eius parte non certa, sed maxume in candida quae lactei circuli nonem accepit. Aristoteles tradit etc.* minus accurate reddidit Lydus sententiam Aristotel. meteorol. I 7, 11 || v. 12 — p. 28 v. 3 Plin. II 91 *fiunt . . et in austrino polo . . . diraque conperta Aethiopum et Aegypti populis, cui nomen aevi eius rex dedit Typhon, ignea specie ac spirae modo intorta, visu quoque torvo, nec stella verius quam quidam igneus nodus.* cf. Apulei. in epimetro et anonym. inedit. ibid. || v. 13 post κατὰ add. μόνον *N* || οὗτοι om. *MN* ||

τοι πυρώδεις καὶ ὡσανεὶ σύνδεσμοι πυρός· οὗτοι δὲ ἐπὶ μὲν τῶν Ῥωμαϊκῶν καιρῶν οὐκ ἐφάνησαν, πρὸ δὲ αὐτῶν φανέντες ἔσεισαν τὴν Αἴγυπτον. ὅθεν αὐτοὺς Ἀριστοτέλης ἐξ ὑποκειμένης ὑγρᾶς οὐσίας ἀποτελεῖσθαι βούλεται· καὶ διὰ τοῦτο ἀραίως ἐπὶ τῆς Αἰγύπτου φαίνεται διὰ τὴν ὑποκειμένην ξηρότητα· οἱ δ' ἄλλοι πάντες ἐπὶ τὸν βορέαν, κἂν ἢ πρὸς ἀνατολὰς ἢ δύσεις ὁρῶσι. περὶ δὲ τὸν στέφανον ἄλλος ἀναφύεται κομήτης, ὅστις ὅταν φαίνηται τὴν τῶν Περσῶν ἀπειλεῖ κίνησιν. ἐφάνη δὲ καὶ ὅτε Νέρων τῆς μανίας ἐνήρχετο. ἐκλάμπουσι δὲ πρὸς τούτοις καὶ λαμπάδες ἐν τῷ οὐρανῷ ἢ μᾶλλον ἐν τῷ ἀέρι (οὐδὲν γὰρ ἄστρον προσπέπηγε τῷ οὐρανῷ) καὶ φαίνονται ὅταν ἐκπίπτωσιν ὁποῖον γέγονε ἐπὶ Γερμανικοῦ Καίσαρος ὅτε ἀγομένου θεάτρου ἐπὶ τῆς Ῥώμης τοιοῦτόν τι συμβέβηκεν, ὡς μηδένα σχεδὸν ἀγνοῆσαι τῶν τότε. δύο δὲ σχήματα ἔστιν, ὧν τὰ μὲν λαμπάδες καλοῦν-

v. 2 μὲν om. *M* ‖ v. 3 his verbis si Aristoteles in meteorol. I 7 sententia significatur, hic eadem atque in toto hoc loco regnat confusio. ‖ v. 4 ἀποτελεῖσθαι] εἶναι *M* ‖ v. 5 ἀραίως scripsi, ἄρεως *MN*, σπανίως *LO* ‖ v. 6 φαίνεσθαι *LO* ‖ v. 7 cf. Plin. II 91 loco supra allato ‖ καὶ ἢ *MN* ‖ v. 8 δύσιν *MN* ‖ v. 8—11 cf. Plin. II 92. *sed cometes nunquam in occasura parte caeli est terrificum magna ex parte sidus . . . ac deinde principatu eius (Domitii Neronis) adsiduom prope ac saevom.* ‖ ἄλλος] ἕτερος *MN* ‖ v. 9 τῶν om. *MN* ‖ v. 10 καὶ om. *MN* ‖ ὅτε — ἐνήρχετο] ὅτε ἐμάνη Νέρων *LO* ‖ v. 11—16 Plin. II 96 *emicant et faces non nisi cum decidunt visae, qualis Germanico Caesare gladiatorum spectaculum edente praeter ora populi meridiano transcucurrit.* ‖ v. 11 δὲ om. *MN* ‖ τούτους *MN* ‖ v. 12 ἢ μᾶλλον—ἐκπίπτωσιν (v. 14)] om. *LO* ‖ v. 14 ὁποῖον γέγονε] οἱ φανέντες *L*, οἱ φανές *O* ‖ τοῦ ante Καίσαρος add. *O* ‖ v. 16 σχεδὸν om. *LO* ‖ ἀγνοεῖσθαι *M*, ἀγνοῆσθαι *N* ‖

ται, τὰ δὲ βολίδες. ἀλλ' αἱ μὲν λαμπάδες ἐπὶ τῆς ἀρχῆς διακαίονται, αἱ δὲ βολίδες πυρώδεις καταφέρονται ἕλκουσαι αὔλακα μακράν. φαίνονται δὲ καὶ δοκοὶ καὶ οὕτως αὐτὰς οἱ Ἕλληνες καλοῦσιν. γίνεται δὲ καὶ χάσμα ἐν τῷ οὐρανῷ, οὗ συμβαίνοντος σάλοι καὶ ῥήξεις ἐξ αὐτῶν καὶ διαστάσεις τῆς γῆς γίνονται. καὶ ἕτερον δέ τι ἐμπρησμῷ παραπλήσιον πολλάκις φαίνεται· ὁποῖον ἐπὶ τῆς ἱστορίας εὑρίσκεται, ὅτε Φίλιππος ὁ Ἀμύντου ἐσάλευσε τὴν Ἑλλάδα. φαίνονται δὲ καὶ περὶ τὸν ἥλιον ἀστέρες διὰ πάσης τῆς ἡμέρας καὶ περὶ τὸν δίσκον αὐτὸν καθάπερ στέφανος καὶ ποικιλόχροοί τινες κύκλοι, ὁποῖοι ἐφάνησαν, ὅτε Αὔγουστος τοὺς ἐμφυλίους πολέμους ἐκδικῶν τὸν πατέρα πεποίηκεν. οὐδὲν δὲ ἧττον συμβαίνει φαίνεσθαι,

p. 28 v. 17 — p. 29 v. 3 Plin. l. s. *duo genera earum. lampadas vocant plane facis, alterum bolidas .. distant quod faces vestigia longa faciunt priore ardente parte, bolis vero perpetua ardens longiorem trahit limitem.* || v. 17 δὲ om. *MN* || εἰσὶν *LO* || καλοῦνται post βολίδες transponunt *LO* (*L* καλοῦσι) || v. 1 ἀλλ' — μακρὰν] om. *LO* || v. 3 et 4 Plin. II 96 *emicant et trabes simili modo, quas* δοκοὺς *vocant.* || φαίνονται — καλοῦσι] om. *L* || v. 4 et 5 Plin. l. s. *fit et caeli ipsius hiatus quod vocant chasma.* || v. 7—9 Plin. II 97 *fit et sanguinea specie incendium ad terras cadens inde, sicut . . cum rex Philippus Graeciam quateret.* || v. 7 ἕτερα *MN* || τι om. *MN* || παραπλήσια φαίνεται πολλάκις *MN* || v. 9 φαίνονται — p. 30 v. 3 προύθηκαν] om. *LO* || v. 9—14 Plin. II 98. *cernuntur et stellae cum sole totis diebus plerumque et circa solis orbem ceu spiceae coronae et versicolores circuli, qualiter Augusto Caesare in prima iuventa urbem intrante post obitum patris ad nomen ingens capessendum.* || φαίνεται δὴ *N* || v. 12 ὅταν *M* || v. 14 πεποίηκεν] ἀνανεοῦν *N*, videtur gravius ulcus latere. || v. 14 — p. 30 v. 2 Plin. II 98. *circa solem arcus adparuit L. Opimio Q. Fabio . . circulus rubri coloris L. Iulio P. Rutilio coss.* || v. 14 φαίνεσθαι συμβαίνει *N* ||

36A ὡς ἔφαμεν, περὶ τὸν ἥλιον ὡcανεὶ τόξον καὶ μανια-
κῶc πυρῶδες. τοιαῦτά τινα οἱ περὶ τὸν Ῥωμαῖον Βάρ-
ρωνα Νιγίδιόν τε καὶ Ἀπουλήιον προύθηκαν. ὁ μέντοι
Καμπέcτριος, ἐξειλεγμένην τινὰ περὶ τούτων cυντά-
ξαc πραγματείαν, αὐταῖc λέξεcι καθ' ἑρμηνείαν περὶ
κομητῶν, καὶ ὅ τι ἀπειλοῦcι, ταῦτα λέγει.

ΚΟΜΗΤΗϹ ΙΠΠΕΥϹ

11. Ὁ λεγόμενος ἱππεύc ἐcτι μὲν Ἀφροδίτηc,
B ἐκ δὲ τῆc ὀξύτητοc οὕτωc [ὠνόμ]αcται· πλαγίουc
δὲ ἕλκει καὶ πυρώδειc πλοκάμουc, αὔλακά τέ τινα
φωτὸc ἀποτείνει, καὶ πάλιν εἰc βραχύν τινα κύκλον 286
38A cυνάγεται, ἀπείρῳ τινὶ cυντομίᾳ καὶ ὀξύτητι ποτὲ
μὲν περιρραίνων ποτὲ δὲ cυνάγων τοὺc λεγομένουc
αὐλακιcμούc. οὗτοc ὅταν πυρώδηc ἀνίcχων ἀπὸ δύ-
cεωc πρὸc ἀνατολὰc ἀκοντίζῃ τοὺc ἑαυτοῦ πλοκά-
μουc, τὴν Περcῶν ἀπειλεῖ ἐπανάcταcιν, ὥcτε [δεῖν]

v. 1 post ἥλιον add. τὰ *M* || v. 3 cavei legitur in *C* fol. 5 rect. in. post lacunam, de qua dixi || τόξα *M* || μανιάκας πυρώδειc *M* || v. 2 βαρβάρωνα *MN* || v. 3 ἀπούλιον *MN* || v. 4 καμπετροῖοc *M* || τούτων] κομητῶν *LO* || v. 5 αὐταῖc — λέγει (v. 6)] τοιαῦτα διέξειcι *LO* et hucusque edid. Cramer l. s. || v. 7 sq. cum tota hac Campestri doctrina conferas et anonymi dissertationem inedit. et Avieni expositionem, quas in epimetro posui; vid. praefat. || v. 7 κομήτηc ἱπ-πεὺc] περὶ κομήτου τοῦ λεγομένου ἱππέωc *M*, om. *L* || v. 8 ante ὁ λεγόμενοc add. κομήτηc *LMN* || ἔcτι μὲν Ἀφροδίτηc] Ἀφροδίτηc ἐcτὶν *LMN* || v. 9 ὠνόμαcται] .... αcται *C*, ὀνομάζεται *LMN* || v. 10 αὔλακάc *MN* || τινας *MN* || v. 11 φωτὸc] ἔρωτοc *MN* || v. 12 cυνάγει *M* || v. 14 ὅταν om. *L* || ἀνίcχει *C*, ἀνίcχῃ καὶ coni H. || v. 15 ἀκοντίζον *L*, ἀκοντίζει *N* || v. 16 ante Περcῶν add. τε *C*, τῶν coni. H. || ἀπολεῖ *N*, δηλοῖ *L* || ὥcτε — cτρατολογίαν (p. 31 v. 5)]

δυνάμεις πολλὰς στρατευμάτων ἐπὶ τὴν ἀνατολὴν συνδραμεῖν, τάς τε Cυρίας πληρῶσαι τὸν ὁποιδήποτε γῆς ἀπῳκισμένον στρατιώτην, καὶ ὡς οὐκ ἀρκούσης τῆς παρασκευῆς πρὸς τὸ πολεμίων κίνημα καὶ B νεωτέραν γενέσθαι στρατολογίαν. ἡγήσεται δὲ λοιμός, καὶ διαφερόντως τοῖς ἵπποις ἐνσκήψει, οὐ τοῖς Περσῶν ἀλλὰ τοῖς ἐκ τῆς Εὐρώπης ἐπ' ἐκείνους φερομένοις. καὶ τοῦτο ἐλάττωσις ἔσται πρώτη τοῖς λοιμώττουσιν. ἀλλ' οὐ μέχρι παντὸς τὰ Περσῶν εὐτυχήσει· μεγάλης γὰρ συντρεχούσης κατ' αὐτῶν πα- 40 A ρασκευῆς φεύξονται, καὶ αἱ ληφθεῖσαι παρ' αὐτῶν πόλεις ἀφεθήσονται, ὁ δὲ βασιλεὺς αὐτῶν φεύγων ἀπολεῖται ταῖς [τῶν ἰδίων χερσίν]. εἶτα καὶ διαρπαγήσεται ὁ πλοῦτος Περσῶν. τὰ δὲ λήια ἄχρηστα, τῶν γεωργῶν ἀναιρεθέντων ἢ καὶ λοιμῷ διαφθαρέντων

om. *L* || ὥστε δεῖν] sic scripsi, ὥστε . . . *C*, δι' ἣν ἀνάγκη *MN* || v. 2 τάς τε] τότε *MN* || ante Cυρίας add. καὶ ἐκ *M* || πληρῶσαι] συνάγειν *M* || ὅπου δήποτε *MN* || v. 3 ἀποκισμένον *N*, ἀπο . . . . *C* || ὡς om. *MN* || v. 4 τὸ πολεμίων] in *C* spat. 10 litter. || τὸ] τὴν *M* || ante πολεμίων add. τῶν *MN* || κίνησιν *MN* || v. 5 ἡγήσεται — λοιμώττουσιν (v. 9)] λοιμὸς δὲ ἐπισκέψει διαφερόντως τοῖς ἀλόγοις (i. e. ex demotica Graecorum lingua = equis) τῶν ἀπὸ τῆς εὐρώπης πρὸς πέρσας ἐκστρατευσαμένων *L* || v. 7 Περσῶν] τῶν περάτων *MN* || τοῖς ἐκ τῆς] spat. 6 litt. in *C*. quod τοῖς ἐκ τῆς explet, si τοῖς compendio eodem scribitur, quo fol. 5 v. 26 || post τῆς add. γῆς *MN* || v. 10 μεγάλης — ἀνίσχῃ (p. 32 v. 3)] τραπήσονται γὰρ καὶ ὁ βασιλεὺς αὐτῶν ἀναιρηθήσεται *L*, cuius scripturas omnes afferre abhinc supersedeo, cum misere contractam epitomen praebere pergat || v. 10 γὰρ] δὲ *MN* || v. 13 ταῖν *C* || τῶν ἰδίων χερσίν] in *C* spat. 12 litt., τῶν ἰδίων χερσὶν *MN* || καὶ om. *MN* || v. 14 ante Περσῶν add. τῶν *MN* || v. 15 καὶ om. *MN* || λιμῷ *MN* || φθαρέντων *MN* ||

γενήcεται. οὐ μὴν ἐμμενοῦcι τοῖc Περcῶν οὐδὲ ἐμ-
βραδυνοῦcι τοῖc αὐτῶν οἱ ἀπὸ [τῆc] Εὐρώπηc, ἀλλ᾽
B ἑκάτερον ἔθνοc ὥcπερ τετελεcμένηc τῆc μάχηc ἐν
τοῖc οἰκείοιc ἐπανήξει. ταῦτα μὲν οὖν ἀπειλεῖ, ὅταν
πυρώδηc ἀνίcχῃ· εἰ δὲ ὠχρόc, πολέμουc μέν τιναc,
ἀλλ᾽ οὐ Περcικούc, cημαίνει, cειcμοὶ δὲ πάντωc καὶ
42A πένθη τινὰ τοῖc ἀνθρώποιc ἐνcκήψουcι. λοιμὸc δὲ
τοῖc βοcκήμαcιν ἐπιπεcεῖται καὶ λιμὸc κάρτα βίαιοc.

12. Εἰ δὲ ὁ τοιοῦτοc κομήτηc ἐπὶ μεcημβρίαν ὁρᾷ, 287
ὠχροὺc καὶ ὀξεῖc ἐπ᾽ ἐκείνην βάλλων τοὺc πυρcούc,
περὶ τὴν θερινὴν τροπὴν [λοιμ]ὸc βαρὺc ἐπιπεcεῖται
τῇ Λιβύῃ καὶ πλῆθοc ποικίλων κακῶν. ὅταν δὲ ἐπὶ
τὴν ἄρκτον ἴδῃ, ἐκ τοῦ ἐναντίου [ἡ Λιβύη] κατὰ τῶν
βορείων cτρατεύcεται, μεγίcτηc αὐτῇ cυμμαχούcηc
B δυνάμεωc. ἐλαττωθεῖcα δὲ εἶτα καὶ δύναμιν ξενι-
κὴν cυλλαβοῦcα τὴν μὲν ἀρχὴν οὐκ ἀγεννῶc καθο-
πλίcεται τῶν ἐναντίων, οὐ μετὰ πολὺ δὲ εἰc παντελῆ
κακοδαιμονίαν πεcεῖται, ὥcτε μετὰ τὸ ἀναιρεθῆναι
ἐγγὺc ἅπανταc καὶ αὐτὸν ἀνδραποδιcθῆναι καὶ δ[ε-
41A θῆναι] τὸν ἡγεμόνα τοῦ ἔθνουc. ἰcτέον δὲ ὡc Λιβύην
τὴν ἀπὸ τῆc ἐρυθρᾶc θαλάccηc ἄχρι Γαδείρων ἢ Ταρ-
τηccοῦ ἢ τῆc λεγομένηc [τοῖc Μαυρου]cίοιc Γάδεωc

v. 1 ἐμμείνωcι *MN* || ἐμβραδύνωcι *MN* || v. 2 τοῖc] τῶν *N* || τῆc om. *MN*, ut addatur flagitat spat. in *C* || v. 4 οὖν om. *N* || ὅταν] ὅτε *MN* || v. 5 ἀνίcχῃ] in *C* spat. 6 litter., ἀνίcχει *M*, ἀνίcχοι *N* || v. 6 πάντων *MN* || v. 7 πάθη *MN* || v. 10 ἐκείνουc *N* || v. 11 λοιμὸc] . . . . ὸc in *C*, λιμὸc *MN* || v. 12 λιβύῃ] ἑλλάδι *MN* || v. 13 ἴδῃ] ἤτοι *MN* || ἡ Λιβύη] 7 litter. spat. in *C*, νεύῃ *M*, νεύει *N* || v. 14 cτρατεύεται *N* || v. 15 εἶτα] ἤτοι *N*, om. *M* || v. 17 μετὰ] μετ᾽ οὐ *N* || v. 19 καὶ δεθῆναι] om. *MN*, καὶ δ . . . . . . *C* || v. 21 γαδήρων *C* || ταρτηcοῦ *C*, ταρτίcου *M* || v. 22 ἢ ante τῆc om. *MN* || τοῖc Μαυρουcίοιc scripsi, in *C* . . . . cτοιc, in *MN* παρὰ

λαμβάνειν χρεών. οὐδὲ γὰρ περὶ Αἴγυ[πτον μόνην τὸ ἀποτέλεςμα] ἀλλ᾽ ἀπολύτως περὶ τὴν Λιβυκὴν [ἅ]π[αcαν Ζώνην καλῶς ἂν λα]μβάνοιτο, καὶ διαφερόντως τὴν Μαυρουςίων, οἳ καὶ προςεχεῖς εἰςὶ τῇ [πρὸς δυςμὰς] Εὐρώπῃ, μόνῳ τῷ λεγομένῳ [κατὰ] τοὺς ἐπι- B χωρίους φρέτῳ οἱονεὶ πορθμῷ ἀπ᾽ αὐτῆς δια[κεχωριςμένοι]. πέρας δὲ λοιμ[ώξουςι] νικήςαντες, ὡς α[ἱ]ρετὴν αὐτοῖς] γεν[έςθαι καὶ] τὴν ἐν πολέμῳ ἀπώλειαν, αὐχμὸς δὲ ἐξ αὐτοῦ καὶ λιμὸς [ἔςται καὶ] διαφερόντως [τῇ Αἰγύπτῳ], ὡς ἐλεεινὴν τὴν Ζωὴν τοῖς περιλει- 46 A

μαυρουςίοις, H. coni. τοῖς πλείςτοις || p. 32 v. 22 γάνδεως *C* (secunda littera prope iam deleta), γῆς δέους *M*, γῆν δεος *N* || v. 1 post Αἴγυ in *C* spat. 19 litt., quod supplevi secundum *MN* || μόνον *N* || v. 2 ἅπαςαν — ἂν λαμβάνοιτο] sic scripsi ex *MN*, .π 20 litt. spat. μβάνοντο *C* || v. 3 Ζώνην om. *M* || ἂν λαμβάνοιτο corr. Hercher pro ἀναλαμβάνοιτο || v. 4 τὴν] H. malit περὶ τὴν || τῇ πρὸς δυςμὰς] sic scripsi ex *MN*, in *C* spat. 7 litt. cδ spat. 3 litt. c || v. 5 μόνῳ τῷ λεγομένῳ] λέγεται δὲ (haec duo rubr.) καὶ *M*, μόνα λεγόμενα *N* || κατὰ] spatium 9 litter. in *C*, φρέτα κατὰ *M*, κατὰ *N*, qui φρέτα post ἐπιχωρίους add., quod in φρέτῳ mutavi; Cεπτῷ supplevit H. || v. 6 αὐτῶν *MN* || διακεχωριςμένοι] διεςτῶτες *MN* || totum hunc locum inde a pag. 32 v. 20 (ἰςτέον) usque ad v. 6 (διακεχωριςμένοι) H. ab ipso Lydo interposita arbitratus est, postquam lacera *C* codicis verba male ita supplevit: v. 22 p. 32 τοῖς πλείςτοις, v. 1 et 2 Αἴγυπτον τὴν λέξιν ταύτην, v. 2 et 3, Λιβυκὴν ἐπαρχίαν οἱ παλαιοὶ ἀπελαμβάνοντο, v. 4 et 5 Μαυρουςίαν καὶ, ὅςαι προςεχεῖς εἰςὶ πρὸς τὰς δύςεις || v. 7 λοιμώξουςι scripsi, λοιμ .... *C*, πρὸς δὲ λιμώξουςιν οἱ *M*, λιμώξουςι δὲ οὕτως οἱ *N*, λοιμοὶ ἐκνικήςαντες suppl. H. || αἱρετὴν — καὶ] sic supplevi, in *C* α spat. 12 litt. γεν spat. 8 litt., αἱρετὴν αὐτοῖς γενέςθαι *MN* || v. 9 λοιμὸς *MN* || ἔςται καὶ supplevi, εικα .... *C*, ἔςται *MN* || v. 10 τῇ Αἰγύπτῳ] sic supplevi spatium 7 litt. in *C* ex *MN* || Ζωὴν]

φθεῖcι [νομιcθῆναι]· νόcoc γὰρ βαρεῖα ἐπιπεcεῖται τῇ
νέᾳ ἡλικίᾳ, καὶ ὁ Νεῖλος ἀποστραφήcεται, καὶ ἀνομβρία
λοιμώδης ἔcται. εἰ δὲ ἐπὶ δύcιν ἀπίδοι, ἕως τῶν Ἡρα- 288
κλέους cτηλῶν πόλεμος καὶ ἀπώλεια ἔcται cτρατευμά-
των καὶ λιμὸς καὶ πτώcεις τῶν βοσκημάτων. εἰ δὲ ἐπὶ
τὸν Βοώτην νεύοι, κρύος ἀπηνὲς ἄχρι Εὐξείνου, καὶ
χειμῶνες ἀήθεις ἐπιχεθήcονται, καὶ πολέμιοι καταδρα-
B μοῦνται τὴν χώραν. καὶ τὴν μὲν ἀρχὴν ἐλαττωθήcον-
ται οἱ ἐγχώριοι, δυνάμεως δ' ὕcτερον cυντρεχούcης
οὐ μόνον ἡττηθήcονται οἱ πολέμιοι, ἀλλὰ καὶ αἰχμά-
λωτοι οἱ ἡγεμόνες αὐτῶν ἐν δεcμοῖc ἔcονται. εἶτα
ἐκεῖθεν ἐπὶ μεcημβρίαν μετελεύcονται ὁ νικήcας cτρα-
τός, καὶ τῶν ἐ[κεῖ ἀνθέξεται πό]λεων, καὶ ἐν ἐπαίνοις
48 A ἔcται· καὶ αὐτὰ δὲ τὰ θεῖα καταλείψουcι τοὺc πολε-
μίους ὥcτε ἐκ περι[ccοῦ] προcτεθῆναι τοῖc νικηταῖc.
τοcαῦτα τὰ cημαινόμενα, ὅταν ὠχρὸς φαίνηται ὁ ἱπ-
πεὺς μετρίως· ὅταν δὲ καθ' ὁμαλοῦ ὠχρότα[τος],
ἐξωτικὸν μὲν οὐκ ἀπειλεῖ, ἐμφυλίους δὲ φράζει πο-
λέμους, οὐκ ἐλάττους τῶν πρὸς τοὺς ἔξωθεν ἀπει-
λοῦν[τας τὰς] cυμφοράς, καὶ οὐ τοῦτο μόνον ἀλλὰ

νόcον *M*, ζώνην *N* || περιληφθεῖcι *M*, περιφθεῖcι *N* || v. 1 νομιcθῆναι] sic *MN*, spat. 5 litter. in *C* || v. 2 Νεῖλος supplevi ex *MN*, . . . oc *C*, ἥλιος suppl. H. || v. 3 ἀφίδοι *MN* || post ἀπίδοι add. ὁ τοιοῦτος κομήτης *MN* || v. 4 post ἔcται add. τῶν *N* || v. 5 πτῶcις *M* || οἰκημάτων *MN* || v. 6 βοώτην] βορᾶν *M* (rubre) || νεύοι] sic *L*, νεύει (rubre) *M*, νέοι *C*, νευοῖ *N* || v. 7 ἐπειχθήcονται *MN* || v. 8 μὲν om. *MN* || v. 9 οἱ ἐγχώριοι — ἔcονται (v. 11)] om. *MN* || v. 12 μετελεύcεται *MN* || v. 13 ἐκεῖ ἀνθέξεται πόλεων] ε spat. 12 litt. λεων *C*, ἐκεῖ ἀνθέξεται *MN* || v. 15 περιccοῦ] περιcτάcεως *MN* || v. 16 τοcαῦτα τὰ] τὰ τοιαῦτα *N* || v. 17 καθόλου ὠχρότητα *MN* || v. 18 ἐξωτικοὺc *MN* || v. 19 τῶν om. *MN* || ἀπειλοῦντας] ἐναπειλοῦν *N* || v. 20 τὰc om. *M* ||

καὶ ἐλάττωσιν*. ἐ[κείνῳ] δὲ μάλιστα προσεκτέον, ὡς
ἐπὶ χρόνον φαινόμενος, ὡς εἴρηται, ἐπὶ τὸν γαλα- B
ξίαν (οὐδὲ γὰρ πρὸς ἀνατολὰς ὑπὲρ τὰς ἑπτὰ φανή-
σεται ἡμέ[ρας ὁ τοιοῦ]τος ἀστήρ), χρόνια τὰ κακά,
πρὸς βραχὺν δὲ καιρόν, ἐπίκαιρ[α] σημαίνει.

ΚΟΜΗΤΗΣ ΞΙΦΙΑΣ 50A

13. Οὗτος ὁ ἀστὴρ ἀναφέρεται μὲν Ἑρμῇ, οὐχ ἥτ-
τονας δὲ τοῦ προτέρου, δολιωτέρας μέντοι ἐνεργείας
289 ποιεῖ. ἂν μὲν γὰρ ἐπὶ τὴν ἀνατολὴν βλέπῃ, οἱ δυνα-
τοὶ Περσῶν καὶ Αἰθιόπων τοὺς ἑαυτῶν βασιλεῖς φαρ-
μάκῳ διαφθεροῦσι. τὸ αὐτὸ δὲ καὶ ἐπὶ Φοινίκης πρός
τινων [τοῦ πλήθ]ους κατὰ τῶν ἐν τέλει ἁμαρτηθήσε-
ται. φῆμαι δὲ ἔσονται οὐκ ἀληθεῖς, ἐκδειματοῦσαι
τοὺς ἁπανταχοῦ. εἰ δὲ ἐπὶ μεσημβρίας ἀνίσχοι, Αἰγυ- B
πτίοις καὶ τοῖς ἄλλοις Λιβυκοῖς ἔθνεσι δόλους ὡσαύ-
τως θανατηφόρους ἐπιφέρει, καὶ Αἰγύπτιοι μὲν ἕξουσι
μεταβολὴν τῶν κακῶν, Λίβυες δὲ ἐμφυλίοις πολέμοις
δαπανηθήσονται. ὅτε δὲ ἐπὶ τὴν δύσιν ὁρᾷ, τοῖς ἐκεῖσε 52A
δυνατοῖς τὰ ὅμοια ἀπειλεῖ, ὡς ἐξ ὑπονοίας κατ'
ἀλλήλων ἐξενεχθῆναι εἰς φανερὸν πόλεμον. ὅτε δὲ

v. 1 ἐλάττωσιν] ἕτερα πλείονα *M* || post ἐλάττωσιν Hasio videtur vox praetermissa esse a librario codicis *C* || ἐκεῖνο *MN* || v. 2 ante ἐπὶ add. ὁ *M* || χρόνου *M* || v. 3 οὐδὲ] ἐστὶν· εἰ (εἰ rubr.) *M*, εἰ *N* || v. 4 ἡμέρας ὁ τοιοῦτος ἀστήρ] ἐπιπλέον οὖν ὢν *M*, τοιοῦτος γὰρ ἡμέρας *N* || v. 5 βραχὺ *MN* || καιρὸν — σημαίνει] ἐπ' ἔλαττον *M* || ἐπίκαιρα om. *N* || v. 6 κομήτης ξιφίας] περὶ ξιφίου *M* || v. 7 οὗτος ὁ ἀστήρ] ὁ δέ γε ξιφίας *M* || ἑρμοῦ *MN* || ἥττονας coni. Hercher pro ἧττον || v. 8 μέντοι] τὰς *MN* || v. 9 ποιεῖ coni. Hercher pro ποιεῖται || v. 11 διαφθεροῦσι scripsi, διαφθειρουσι *C*, διαφερoῦσι *M*, διαφθειροῦσιν *N* || πρός τινων] προστείνων *M* || v. 12 τοῦ πλήθους] τὸ πάθος *MN* || v. 14 μεσημβρίαν *MN* ||

ἐπὶ τὴν ἄρκτον ὁρᾷ, ἐπιμιξίαν δηλοῖ τῶν ἀρκτῴων καὶ Λιβυκῶν ἐθνῶν, ὥϲτε θυγατέρα Λίβυοϲ δυνάϲτου δοθῆναι πρὸϲ γάμον ἀρκτῴῳ τυράννῳ, καὶ ἐπιβουλεῦϲαι τῷ πατρὶ τὴν παῖδα, καὶ προδοῦναι αὐτόν, ἔρωτι ἀϲεβεῖ περὶ τὸν ἄνδρα κρατουμένην.

ΚΟΜΗΤΗϹ ΛΑΜΠΑΔΙΑϹ

B 14. Λαμπαδίαϲ [κομήτηϲ, οὕτω προϲαγορευόμενοϲ] ἐκ τοῦ ϲχήματοϲ, ἔϲτι μὲν Ἑρμοῦ καὶ αὐτόϲ· ὅταν δὲ ἐπὶ ἀνατολὰϲ ἴδῃ, ἀχλυώδη τὸν ἀέρα καὶ ἐξ αὐτοῦ βλάβην τῇ ἀμπέλῳ μαντεύεται· ἐκ γὰρ τῆϲ
54A ἀχλύοϲ τίκτονται ϲκώληκεϲ οἱ λεγόμενοι ἶπεϲ. καὶ ἡ βλάβη καθολική, μάλιϲτα δὲ τοῖϲ περὶ τὴν ἄνω Ἀρμενίαν, Εὐφρατηϲίαν [τε καὶ Φοι]νίκην καὶ Ταυροκιλικίαν γεν[ήϲε]ται. καὶ οὐ μόνον ἐν ἡμέρᾳ, ἀλλὰ καὶ ἐν νυκτὶ οὕτωϲ ἡ ἀχλὺϲ πυκνωθήϲεται ὡϲ καὶ λαμπάδαϲ ἀνημμέναϲ ἀποϲβέννυϲθαι. τοῖϲ δὲ καρποῖϲ ἐμφυήϲεται ἡ λεγομένη αἶρα καὶ ὑγραϲία τιϲ ϲηπτικὴ 290
B καὶ βλαπτικὴ τοῖϲ ἀμητοῖϲ· ἐκτροπαί τε ποταμῶν καὶ ὄμβρων ῥήξειϲ βιαιοτέρων καὶ κεραυνῶν βολαὶ ἔϲονται, καὶ οὐδὲν ἧττον ὁ αὐχμὸϲ ἐπιτείνῃ, ὡϲ καὶ τοὺϲ ἀενάουϲ τῶν ποταμῶν ἀναφρυγῆναι. εἰ δὲ ἐπὶ νό-

v. 6 κομήτηϲ λαμπαδίαϲ] περὶ λαμπαδίου (rubr.) *M* || v. 7 ante λαμπαδίαϲ add. ὁ δὲ *M* || κομήτηϲ — προϲαγορευόμενοϲ] om. *M*, κομήτηϲ, καὶ οὕτω προϲαγορευόμενοϲ *N* || v. 8 post ϲχήματοϲ add. *M* οὕτω προϲηγορεύθη || μὲν] δὲ *MN* || v. 10 ταῖϲ ἀμπέλοιϲ *M* || v. 11 τίκτοντεϲ *N* || v. 12 δὲ τοῖϲ] sic *MN*, μέντοι *C* || v. 13 τε — γενήϲεται (v. 14)] om. *MN* || v. 16 ἡμμέναϲ *M*, ϲυνημέναϲ *N* || ἐναποϲβέννυϲθαι *C* || v. 17 ἠέρα *M*, ἡ ἔρα *N* || τιϲ — βλαπτικὴ] ϲηπτικὴ *MN* || v. 18 τε] τῶν *MN* || καὶ ὄμβρων — τῶν ποταμῶν (v. 21)] om. *MN* || v. 21 ante ἀναφρυγῆναι add. ὥϲτε *MN* || εἰ — ἔτι] ἐπὶ δὲ (ἐπὶ δὲ rubr.) τῶν *M* || νότον] τὸν *N* ||

τον, ἔτι μᾶλλον ξηρότερον ἔϲται καὶ λοιμωδέϲτερον τὸ τοῦ ἀέροϲ κατάϲτημα, τοῦ Νείλου ὑποξηρανθέντοϲ, ὥϲτε ἑρπετῶν πάντα πληρωθῆναι. εἰ δὲ ἐπὶ τὴν ἄρκτον, ὁ μὲν αὐχμὸϲ τῷ ψυχρῷ τοῦ κέντρου ἡττηθήϲεται, πῦρ δὲ ταῖϲ ὕλαιϲ ἀδοκήτωϲ καὶ τοῖϲ ὄρεϲιν ἐμπεϲεῖται, ὡϲ μηδὲ τοὺϲ ἐν τοῖϲ ἀγροῖϲ ἢ φρουρίοιϲ διατρίβονταϲ ἔξω τῆϲ βλάβηϲ γενέϲθαι· θάνατόϲ τε C πολὺϲ ἔϲται, καὶ μάλιϲτα ἐπὶ τῆϲ Αἰγύπτου. ὅταν δὲ 56A ἀνίϲχων πρὸϲ δυϲμὰϲ ὁρᾷ, κεραυνοὺϲ μὲν τῇ χώρᾳ, πτῶϲιν δὲ τοῖϲ βοϲκήμαϲι μαντεύεται, ἐμπρηϲμοί τε ἔϲονται βαρεῖϲ.

ΚΟΜΗΤΗϹ

15. Οὗτοϲ ὁ ἀϲτὴρ Διὸϲ μέν ἐϲτιν, οὕτω δέ ἐϲτιν ἐπίϲημοϲ ὡϲ ἐξ αὐτοῦ πάνταϲ τοὺϲ ἄλλουϲ διοϲημειακοὺϲ ἀϲτέραϲ κομήταϲ προϲαγορεύεϲθαι. οὗτοϲ δὲ ἡνίκα λαμπροὺϲ καὶ ἀργυροειδεῖϲ τοὺϲ πλοκάμουϲ ἐπὶ τὴν ἀνατολὴν ἀκοντίϲῃ, Διὸϲ καρκίνῳ ἢ ϲκορπίῳ ἢ ἰχθύϲιν ὄντοϲ, Πέρϲαιϲ ἀγαθὰ μεγάλα μαντεύεται. B ἀναϲτήϲονται γάρ, καὶ ἐπὶ τὰ Ῥωμαίων ἐκχυθέντεϲ πόλειϲ τε καὶ φρούρια καθέξουϲιν, αἰχμαλώτων τε ἄπειρον πλῆθοϲ καὶ πλοῦτον πολὺν λαβόντεϲ νικηταὶ εἰϲ τὴν ἑαυτῶν χώραν ἀναζεύξουϲι, μηδὲ ϲυμβαλεῖν ὅλωϲ

v. 1 ξηρότερων *N*, ξηροτέρων *M* || ἔϲται om. *C* || v. 2 ὁ (rubr.) δὲ Νεῖλοϲ ξηρανθῇ *M* || ὑποξηρανθέντοϲ coni. Hercher pro ὑποξηραίνοντοϲ || v. 4 τοῦ κέντρου] om. *M* || v. 6 τοὺϲ] τοῖϲ *N* || v. 7 διατριβόντων *N* || v. 8 τὴν *M*, τοῖϲ *N* || Αἴγυπτον *M* || ὅταν δὲ ἀνίϲχων] εἰ δὲ (rubr.) *M* || v. 9 μὲν om. *MN* || v. 12 κομήτηϲ] Διὸϲ κομήτηϲ *N*, περὶ κομήτου τοῦ Διὸϲ *M* || v. 13 μὲν — ἐπίϲημοϲ (v. 14)] κομήτηϲ ἐϲτίν. ἔϲτι δὲ ἐπίϲημοϲ· ἐπίϲημοϲ δὲ ἐϲτιν *M* || οὕτω] αὐτὸϲ *N* || v. 14 ante ὡϲ add. ἐπίϲημοϲ δέ ἐϲτιν *N* || v. 15 ante ἡνίκα om. δὲ *C* || v. 17 Διὶ *M* || v. 20 φρούριά τε καὶ πόλειϲ *M* || τε] δὲ *N* || ἀπείρων *C* || v. 22 ἀναζεύξωϲιν *N* || μήτε *C* ||

τινὸς θαρροῦντος αὐτοῖς. ὅταν δὲ ἀποστρόφως ἀνί-
σχῃ ὁ κομήτης οὗτος, τοῖ[ς ἀφ᾽ ὧ]ν ἀποστρέφεται 291
58A τὰς ἀστοχίας ἐπιφέρει. εἰ δὲ ἐπὶ τὸν νότον ἴ[δοι],
ἐπιδώσει ὁ Νεῖλος ἀφθονώτερον, εἰρήνη τε καὶ εὐε-
τηρία ἔσται ἐπὶ τῆς Αἰγύπτου, ὁμόνοιά τε καὶ εἰλικρι-
νὴς τοῖς πᾶσιν ἡσυχία. εἰ δὲ ἀποστρεφόμενος καὶ κατὰ
νῶτα ἔχων τὴν ἀνατολὴν ἐπὶ τὴν δύσιν ὁρᾷ, ἄπειρος
ἔσται τοῖς Ῥωμαίοις εὐδαιμονία· Πέρσας τε γὰρ κατα-
πολεμήσουσι καὶ αὐτοῦ ἀναιρεθέντος τοῦ Περσῶν
βασιλέως· πάντων τε ὁμοῦ τῶν ἀγαθῶν ἀφθονία τῇ
Ῥωμαίων πολιτείᾳ ἔσται· θέαι τε ἄφθονοι καὶ δωρε-
αὶ φιλότιμοι καὶ ἱππικοὶ ἀγῶνες σπουδαιότεροι μετὰ
ψυχαγωγίας τοῦ πλήθους ἐπιτελεσθήσονται καὶ ἁπλῶς
εἰπεῖν τοῖς πράγμασι καθολικὴ ἔσται ἱλαρότης. εἰ δὲ
ἐπὶ τὴν ἄρκτον ἴδοι κατὰ νῶτα τὸν νότον ἀφείς,
καταδραμοῦνται Λιβύην οἱ ἀπὸ τῆς Εὐρώπης νόμῳ
πολέμου καὶ οὐχ ἥκιστα οἱ ἀπὸ τοῦ ἀνατολικοῦ βο-
ρείου κατὰ τῶν νοτίων δυτικῶν. τοῖς δὲ ἐπὶ τὴν
ἀνατολὴν καὶ Αἴγυπτον νοτίοις οἱ πρὸς βοήθειαν καὶ
φυλακὴν τῶν ὅρων ἐνιδρύμενοι στρατιῶται τὰ χείρι-
στα ἐπάξουσιν.

v. 1 ἀνάσχοι *L MN* || v. 2 οὗτος om. *M*, οὕτως *N* || τοῖς ἀφ᾽ ὧν] sic scripsi ex *L*, τοι .....ν *C*, τοῖς καρποῖς *M*, το καρποῖς *N*, τοῖς καθ᾽ ὧν suppl. H. || v. 3 ante τὰς add. καὶ *MN* || ἐπιφέρειν *N* || ἴδοι supplevi, ι . . *C*, ἀπίδοι *MN* || v. 4 ἀφθονώτερον] εὐτονώτερον *M* || v. 5 τὴν Αἴγυπτον *MN* || v. 7 νῶτα] .οτο. *C*, i. e. νότον et sic *N* || v. 8 inde a τε incipit lacuna in cod. *C*, in quo explicit fol. 6 vers. et desideratur unum certe folium || v. 9 ἀναιρουμένου *N* || v. 14 ἱλαρία *N* || v. 15 νῶτα] νότου *N* || v. 18 δυτικῶν νοτίων *N* ||

ΚΟΜΗΤΗϹ ΔΙϹΚΕΥϹ

15[a]. ὁ λεγόμενος δισκεὺς ὡς εἴρηται ἀπὸ τοῦ σχήματος οὕτω προσηγορεύθη, ὥστε κυκλοτερὴς ὢν οὐκ ἔστι δῆλος ἐπὶ ποῖον μέρος ἀφορᾷ· ἀνίσχων δὲ κοινὰ πᾶσι μαντεύεται κακά· καὶ οὐδενὶ τῶν πλανητῶν ἀνάκειται, ἀλλ᾽ ἐξ ἀνταυγείας τοῦ ἡλίου γίνεται. ἀπειλεῖ τοίνυν θορύβους καθολικοὺς καὶ πολέμους ἀπὸ τῆς ἄρκτου καὶ μεγάλων προσώπων ἀπώλειαν καὶ εὐτελῶν καὶ ἀγενῶν εὐπραγίαν, κίνδυνον δὲ καὶ αὐταῖς ταῖς πρώταις τύχαις ἐπάγει. ἐλαττωθήσεται δὲ πανταχοῦ τὰ Ῥωμαίων στρατεύματα, ὡς ἐγγὺς παντελοῦς ἀπωλείας ἐλθεῖν.

ΚΟΜΗΤΗϹ ΤΥΦΩΝ

15[b]. οὗτος γίνεται ἐξ ἀντανακλάσεως τοῦ ἀέρος· ἔστι δὲ δρεπανοειδής, ἀργός, καπνώδης, στυγνός. ὅπου δ᾽ ἂν βλέπῃ, καθολικὰ ἔσται κακά. πόλεμοί τε ἐξωτικοὶ καὶ ἐμφύλιοι βαρεῖς καὶ στάσεις δημοτικαὶ καὶ ἔνδεια τῶν ἀναγκαίων. ἀναιρεθήσονται δὲ καὶ ἡγεμόνες ἔνδοξοι ἐν πολέμοις καὶ μάλιστα εἰ ἐπὶ τρεῖς

v. 1 περὶ δισκέως *M* || v. 2 post ὁ add. δὲ *M* || δοκεὺς *N* || v. 4 μέρος ἀφορᾷ] μέρος τοῦ κόσμου δοκεῖ ἀφορᾶν *L*, ἰὼν δὲ ἀφορᾷ ἀνίσχων *N* || ἀνίσχων δὲ κοινὰ] sic *L*, κοινὰ δὲ *MN* || v. 5 καὶ οὐδενὶ] ἀλλ᾽ οὐδέ τινι *L* || πλανητῶν] sic *L*, πλαγίων *MN* || v. 6 ἀλλ᾽] γίγνεται δὲ *M*, qui om. γίγνεται post ἡλίου || v. 10 ἐλαττωθήσεται δὲ] ὡς ἐλαττωθῆναι *L* || v. 11 τῷ ante Ῥωμαίων add. *L* || ὡς] καὶ *L* || v. 13 κομήτης τυφών] om. *L*, περὶ τυφῶνος *M* || v. 14 οὗτος scripsi, οὕτως *N*, ὁ τυφὼν δὲ *L*, ὁ δὲ τυφὼν *M* || ἀνακλάσεως *L* || v. 15 ἔστι δὲ] sic L, om. *MN* || ἀραιὸς coni. Hercher || v. 16 δ᾽ ἂν] sic *L*, γὰρ *MN* || βλέπῃ corr. Hercher pro βλέπει || v. 17 ἐμφύλιοι — στάσεις] sic *L*, βαρεῖς ἐμφύλιοι στάσεις *MN* || v. 18 καὶ post δημοτικαὶ om. *M* ||

ἢ τέccαραc ἡμέραc φαίνεται. εἰ δὲ πλέον φανῇ, τοῦ παντὸc ἀπώλειαν καὶ ἀνατροπὴν ἀπειλεῖ καὶ πέραc τῶν κακῶν οὐδαμοῦ. ἀπολοῦνται δὲ πλεῖcτοι ἐκ τοῦ Ῥωμαϊκοῦ cτρατεύματοc ἐν πολέμῳ, ληφθήcονται δὲ καὶ παρεμβολαὶ καὶ φρούρια Ῥωμαίοιc προcήκοντα· καὶ αὐτοῖc δὲ τοῖc ἄρχουcι cταcιάζων ὁ δῆμοc ἐπελεύcεται. καὶ λοιμὸc ἔcται καὶ οὐδεὶc εὐχόμενοc ἀκουcθήcεται· καὶ διαδοχαὶ κατάλληλοι τῶν ἀρχόντων ἐξ ἀβελτηρίαc τῶν κρατούντων ἔcονται. ἔμπρηcμοι δὲ διαφερόντωc κάρτα βίαιοι καὶ φονικοὶ ὅλαc πόλειc ἀποτεφροῦντεc cυμβήcονται. καὶ καθολικὰ μὲν ἔcται καὶ ἀνυπόcτατα πανταχοῦ δεινά, τοῖc δὲ δυτικοῖc χείρονα. πόλεμοc γὰρ αὐτοῖc ἐκ τῆc ἀνατολῆc δυνατὸc ἐπιπεcεῖται, διχονοούντων δὲ τῶν κινουμένων ἐκ τῆc ἀνατολῆc τὸ πλεῖcτον τῆc cτρατιᾶc ἀποφθαρήcεται. καὶ cτάcειc ἐγερθήcονται τοῖc cτρατεύμαcι καὶ ἀλλήλοιc τὰc ποινὰc ἐπικλώcουcιν αἱ cτρατεῖαι. μετ' οὐ πολὺ δὲ αὖθιc οἱ νικηταὶ δυcτυχήcουcι καὶ διοχθήcονται καὶ ἁπλῶc τοῖc ἁπανταχοῦ κακὰ ἔcται ἐπὶ τοcούτουc ἐνιαυτούc, ἐφ' ὅcαc ἡμέραc ἡ τοιαύτη διοcημεία φανήcεται.

16. ....[γενεc]ίαν τῷ παν[τὶ παρ]έχουc[α· καὶ
60A ὅcα ἁ]πλῶ[c ἐν] τῷ περ[ὶ] γενέc[εωc καὶ] φθ[ορᾶc ὁ

v. 1 φανῇ] sic *L*, om. *MN* || v. 2 ἀπειλεῖ] sic *L*, om. *MN* || v. 6 τοῖc] τῶν *N* || v. 7 λοιμὸc scripsi pro λιμὸc || v. 10 φοινικοὶ *M* || v. 11 post ἔcται add. ἡ *N* || v. 13 χείρονα] sic explic. *L* || v. 17 ἐπικλώcωcι τὰc cτρατείαc *N* || v. 19 διοφχθήcονται *N* || v. 21 φανήcεται] sic explic. *MN* || v. 22 in eo folio, quod in *C* desideratur, probabile est post finitam Campestri de cometis dissertationem, cuius finem ex codd. *LMN* supra scripsi, Lydum transiisse ad observationes lunares. ibi Hase ex peroratione capitis 16

φιλόcοφοc ἀνα]φ[έρει. ὥcτε ἀν]άγκη π[ᾶ]cα τῶν
ὑπὸ c[ελήν]ην πάντων [μὴ] μίαν [μ]ηδὲ τὴν αὐτὴν
εἶναι φύcιν. εἰ γὰρ ἀρχὴ γενέcεωc καὶ φθορᾶc cε-
λ[ήνη, εἰκόc ἐcτι] μὴ ἀεὶ [ὡc]αύτωc θεωρεῖcθαι τὰ
ὑπ' [αὐ]τὴν φυ[όμενα cυμβά]ντα. εἰ γὰρ ἔκκ[εντρ]οc
παρὰ τ[οὺc ἄλλουc τ]ῶν [π]λανωμένων αὕτη, λοξῶc
καὶ οὐ πρὸc ὀξὺ τὰ τῶν ἀποτελεcμά[τ]ων γίνεται.
οἱ μὲν γὰρ κατὰ τοὺc διαπλόκο[υc] πόλουc [τὴν ἐπὶ B
ταῖc] διοcημείαιc μαντείαν ἀπευθύνουc[ιν, ἄ]λ[λοι δὲ
κατὰ] τὰc [ἐπιτο]λὰc ἢ κατὰ τὰc φάcειc· καὶ οὗτοι
292 μὲν π[ρὸc τὰ ζ]ῴδια τὸν ἥλι[ον ἐ]πιτηρήcαντεc, ἐκεῖ-
νοι δὲ πρὸc τ[ὰc cεληνια]κὰc cυνόδουc [καὶ ἀπο]cτά- 62A
cειc, ἄλλοι κατὰ φυcικ[άc τι]ναc ἐπιτηρήcειc. κῆ[ρυξ
δὲ τῶν ἀπορρήτω]ν ἡ φύcιc. ὥc[τ' οὐκ ἔ]ξω φρενο-
βλαβείαc [μέμφον]ται [ταῖc μεθό]δοιc δι' ὧν τοῦ
μ[έλλοντοc cτοχάζ]εcθαι εἰcαγό[μεθα]· οὐδὲ [τὸ] περὶ
τὴν τ[ῶν ἀcτέρων θεωρίαν ἀ]παcχολοῦν [ἔξω θεοcε-
β]είαc [ποι]εῖ· ἀλλ' ἔτι μᾶλλον τὴν [πάνcο]φον ἔcτι
διὰ [τῶν ἔργ]ων αὐτῶν θεωρῆcαι πρόνοιαν τ[οῦ
πάντ]ων ἀρρήτου [πατρ]όc, [καὶ θ]αυμάc[αι τὴν ψυ]- B
χὴν ἀνθρώπου δύναcθαι ἡγουμένου θεο[ῦ καὶ] περὶ
τῶν οὐρανίων, ὡc δυνατόν, διαλέγ[εcθαι. ταῦ]τα

suspicatur auctorem suscepisse defensionem disciplinae auguralis contra voces quorundam negantium consociari eam posse cum pietate rectaque persuasione de numine ac mente dei. cui opinioni opposuisse videtur ratiunculas e libris Aristotelis de caelo deque generatione et corruptione conquisitas: tempestatum vicissitudines rerumque humanarum commutationes, modo leges a providentia fixas noveris, non minus a mortalibus sciri praedicique posse quam siderum cursum impetumque caeli. qua ex argumentatione supersunt quae secuntur. || incipit fol. 7 in *C* ||
v. 5 εἰ γὰρ] εἴ γε suspicatur H. ||

μὲν οὖν Φούλβιός φ[ηcιν, ἐκ τ]ῶν τοῦ Νουμᾶ ἱ[cτο-
ρήcαc. ἡμεῖc δ]ὲ μετὰ [τὰc ἐκ δια]φόρων cυνειλεγμέ-
64 A ναc δόξαc [καὶ τὰc ἐξ ὁ]μαλοῦ τοῖc πα[λαιοῖc γρα-
φ]είcαc ὑποθήcομεν, ἐκ τῶν περὶ [cε]λήνηc cχηματι-
[cμῶν κατὰ τὰ ζ]ῴδια τῆc θεωρίαc λαμβάνοντεc.

17. [Cελήνη] αἰγόκερῳ. [εἰ κατὰ τὴν διχομη-
νίαν ἡ cελή]νη ἀμυδρὰ φανῇ, εὐθηνία ἔcται. [εἰ δὲ
ἐν τῇ δευτέρᾳ φυλακῇ ὁμο]ίωc ἀμυδρὰ φαίνηται,
ἔφοδον πολε[μίων cημαίνει. εἰ] ....αc
τεκμήριον. εἰ δὲ .... [ἀ]πειλεῖ. εἰ
δὲ ἄcτρον διαδρά[μῃ, ἀπώλειαν ἀνθρώπων cημαίνει.
B εἰ δὲ ὁμί]χλη γένηται, χάλαζα [πεcεῖται. εἰ δὲ ἄνεμοι
βιαιοτέρωc] πν[εύcου]cιν, ἐφόδουc πολεμίων [φρά-
ζουcιν].

[Cελήνη ὑδρο]χόῳ. [εἰ κατὰ τὴν πρώτην ἢ
66 A δευτέραν φυλ]ακὴν ἡ cελήνη ἀμυδρὰ φαίνοιτο, πό-
λεμοc ἔcται· εἰ δὲ κατὰ τὴ[ν ἑωθι]νήν, εἰρήνην μετ[ὰ
ἐλλεί]ψεωc τῶν ἐπι[τηδ]είων δηλοῖ. εἰ δὲ cειcμὸc ἢ 293
ἦχοc ἐκ τοῦ οὐρανοῦ γένηται, νόcουc cημαίνει. εἰ
δὲ ὁμίχλη γένηται, cίτου κα[ὶ ο]ἴνου δαψίλειαν δηλοῖ.
εἰ δὲ παρ' ὅλον τὸν μῆνα ἐπιτείνουcι πνεύματα,
[ὑε]τὸc ἥ[ξει. εἰ δ] ἕcπεροc ἐν τῇ cελήνῃ εἰcέλθῃ,
[ἴδιοι ἰ]δίοιc δυνατοὶ ἐπ[ιβουλεύcο]υcιν. εἰ δὲ δ[όξ]ῃ
B ἐκλιπεῖν ἡ cελήνη ** cελήνηc cυνέλθωcι, cίτου ἀφθο-
νία ἔcται. εἰ δὲ ἄcτρον ἐκτρέχον ἐπὶ τὸν [οὐ]ρανὸν
αὐλακίζει, κίνδυνον τοῖc παραλίοιc ἀπειλεῖ.

Cελήνη ἰχθύcιν. εἰ ὁ ἥλιοc φαύλωc ἐκλάμπειν

v. 2 cυνειλιγμεναc *C* || v. 4 ὑποθήcωμεν *C* || v. 24 ** om. librarius clausulam prioris et initium sequentis sententiae; hoc cum H. supple: εἰ δὲ αἱ κεραῖαι τῆc || v. 27 φαυλοc *C* ||

δόξῃ, φθορὰ ἔσται ἀνθρώπων. [εἰ δὲ] ἐν τῇ πρώτῃ 68 A
φυλακῇ ἡ σελήνη τὰς κεραίας συνάγῃ, εἰρήνη [ἔσται].
εἰ δὲ σ[εισ]μὸς γένηται, ἀπορίαν σημαίνει τοῖς συναλ-
λάγμασιν. ἐὰ[ν] ἄστρον ἐν ἡμέρᾳ φανῇ, ἀνάγκη τὰ
κοινὰ περ[ιστήσετ]αι. ἐὰν [κε]ραυνὸς [εἰς] γῆν [πέσῃ,
π]αῦλα τῶν κακ[ῶν. ἐὰν] ὁμί[χλη εἰς τὴν] γῆν πέσῃ,
συνοίσει τοῖς καρποῖς.

18. [Σελήνη κριῷ]. εἰ ἡ σελήνη ταρ[αχώ]δης
φανῇ, πόλεμοι ἔσονται καὶ ἐπ[αναστάσεις]. εἰ δὲ B
κατὰ τὴν [δευ]τέραν φυλακὴν ἡ σελήνη αἱματώδ[ης
φανῇ, ὁ] σῖτος ἔσται ἀφθονώτατος. ἐὰν ὁ ἕσπερος ἐγ-
γίζῃ τῇ σελ[ήνῃ, πό]λεις π[όλεσι συρ]ραγήσονται καὶ
λιμὸς ἔσται. εἰ νυκτὸς πρηστὴρ κατ[εν]εχθείη, βασι-
λ[εὺς τοῖς] ἑαυτοῦ ἐπιβουλεύσει. εἰ δὲ σεισμὸς γ[ένηται],
ἔνδειαν σί[του ση]μαίνει. εἰ δὲ ἦχος ἐκ τοῦ οὐρανοῦ 170 A
γ[ένηται, οἱ τῆς] Εὐρώπης τοῖς τῆς ἄνω Ἀσίας πο-
294 λεμήσουσιν. ἐὰν ἡ ἀ[ριστερὰ κεραία] τῆς σελήνης
δόξῃ ὑπερβάλλειν τὴν ἄλλ[ην, αὐχμὸς ἔσται καὶ σίτου]
ἀπορία. ἐὰν ἐν ἡμέρᾳ πρώτῃ τῆς φων[ῆς ....
...... ἄ]νεμοι τὸν μῆνα καταπν[εύσουσιν].

Σελήνη ταύρῳ. εἰ ἐκλίπῃ ἥλιος, ἐρήμωσιν
ἀπ[ειλεῖ τοῖς ἀνθρώποις. εἰ ἡ σελήνη] ἐπὶ τῆς δευτέ-
ρας φυλακῆς τα[ραχώδης φανῇ, φθορὰ ἀνθρώπων] B
ἔσται. εἰ ἡ σελήνη ἐξ ἴσου τὰς κε[ραίας ἀνίσχουσα
ἔχῃ, θόρυβον] τῇ βασιλείᾳ ἀπειλεῖ· εἰ δὲ κατ[ὰ τὴν]
μί[αν μόνον ἐξέχῃ, θό]ρυβοι ἔσονται καὶ φυγαί. εἰ δὲ
σει[σμὸς γένηται ἀπὸ πρώτης τοῦ] μηνὸς ἕως δωδε- 72 A

v. 9 φανῇ corr. Hercher pro φανῆται || v. 13 κατ-..εχεθειη *C* || v. 18 ἄλλην] H. malit τὴν ἑτέραν || v. 27 τοῦ addidi, quod permittit spatium in *C* || μηνὸς scripsi pro μαιου ||

κάτης, ἀφαίρεσιν τῆς ἀρχῆς τῷ ἡγουμένῳ τοῦ τόπου,
ἐφ' οὗ γενήσεται, καὶ φόβον οὐκ ἀκίνδυνον ἀπειλεῖ.
εἰ δὲ ἀπὸ δωδεκάτης γένηται, οὐ μόνον ἀποκινεῖται
ὁ ἐπιτροπεύων τὸ ἔθνος, ἀλλὰ καὶ ἀπόλλυται. καθο-
λικῶς δέ, ὅποι ἂν σεισμὸς ἀπὸ δεκάτης ἕως τριακο-
στῆς τοῦδε τοῦ μηνὸς συμβῇ, θορύβους καὶ πολέμους
ἀποτελεῖ. εἰ ἀπὸ πρώτης φυλακῆς ἕως ἕκτης σεισμὸς
B γένηται, πολέμου ἐθνικοῦ κίνησις ἔσται, ὁ δὲ ἡγού-
μενος τοῦ κινήματος ἀναιρεθήσεται.

Σελήνη διδύμοις. εἰ ἔκλειψις γένηται ἡλιακή,
μεταβολὴ ἔσται καὶ ἐπὶ τῶν πραγμάτων [ἕτ]εροι
ἔσονται. εἰ δὲ τῆς πρώτης φυλακῆς ἐκλίπῃ ἡ σελήνη,
ἀκρίδες ἔσονται· εἰ δὲ ταραχώδης φανῇ, πόλεις πρὸς
πόλεις καταφεύξονται. ἐὰν ὁ τῆς Ἀφροδίτης ἀστὴρ
ταραχώδης γένηται, ἀνθρώπων φθορὰ ἔσται. ἐὰν
νυκτὸς ἀστὴρ πέσῃ, κακῶν σημεῖον, ὥσπερ εἰ ἐν 295
ἡ[μέρᾳ] ὀφθῇ. ἐὰν πρηστὴρ πέσῃ, θόρυβος ἔσται
C ταῖς πόλεσι ταῖς πρὸς τὴν ἀνατολήν. εἰ σεισμὸς γέ-
νηται, χάσματα τοπικὰ ἔσται. ἐὰν ὁμίχλη πυκνωθεῖσα
εἰς γῆν πέσῃ, σῖτος ἔσται πολύς. εἰ ὁ ἥλιος αἱματώ-
δης γένηται, ἀποβολὴ ἔσται ἀνθρώπων. ἐὰν πνεῦμα
ἐξαίσιον πνεύσῃ ἐπὶ ἑπτὰ ἡμέρας, σῖτος ἔσται πολύς.
ἐὰν ἀπὸ νεομηνίας ἕως ἐννάτης τοῦ μηνὸς τούτου
74A σεισμὸς γένηται, φθορὰν ἀνθρώπων ἀπειλεῖ. εἰ δὲ
ἀπὸ ἐννάτης ἕως δεκαεννάτης σεισμὸς γένηται, ὁ
κρατῶν τῶν πραγμάτων κάκιστα διαγενήσεται, ἔσται
δὲ καὶ λιμὸς τοῖς κτήνεσι καὶ ὕδατος λεῖψις. εἰ ἀπὸ
εἰκοστῆς σεισμὸς γένηται, ταπείνωσιν τοῖς διὰ λόγων

v. 2 γενήσεται] corr. Hercher pro γένηται || v. 3 μονον ουκ *C* || v. 7 post ἕκτης intercidisse ὥρας H. suspicatur perperam, opinor; sed corruptum esse locum liquet. || v. 12 ante τῆς addi mavolt H. ἐπὶ ||

ἀπειλεῖ, τῷ δὲ τόπῳ ἐναλλαγὴν ἄρχοντος. εἰ ἀπὸ εἰκοστῆς πέμπτης ἕως τριακοστῆς σεισμὸς γένηται, χειμῶνας μεγάλους σημαίνει, [καὶ] πόλεμος ἔσται καὶ ἀπόπτωσις ἄρχον[το]ς κλεινοῦ. εἰ ἐπὶ τῆς τριακάδος B [σει]σμὸς γένηται, χειμῶνας μεγάλους σημαίνει.

19. [Σελήνη κα]ρκίνῳ. [εἰ] ἡ σελ[ήνη ἀμυδ]ρὰ ὀφθείη, στράτευμα ἀλλότριον ἐπὶ τὴν βασιλέως ἥ[ξει χώραν. ἐ]ὰν ἦχος ἐκ τῆς γῆς γένηται, τύραννος ἀναιρεθήσεται. [ἐὰν κε]ραυνὸς πέσῃ εἰς γῆν, πόλεις παράλιοι ἐρημωθήσον[ται καὶ ἀπ]ορία ἔσται ἀνθρώπων. ἐὰν ἡ σελήνη αἱματώδης φανῇ, ἄνδρες δυνατοὶ κα- 76A κοδαιμονήσουσιν· ἐὰν ἡ [σελήνη ἐξ ἴ]σου ἔχῃ τὰς κεραίας, εἰρήνη ἔσται καὶ εὐθηνία· εἰ δὲ ὑπερέχῃ ἡ ἑτέρ[α] τὴν ἑτέραν, ὕδατος ἔσται λεῖψις. εἰ σεισμὸς γέ- 296 νηται ἀπὸ πρωῒ ἕως μεσημβρίας, θεοχολωσίαν ἀπειλεῖ· εἰ ἀπὸ ἕκτης ἡμέρας ἕως τριακάδος σεισμὸς γένηται, τοῖς μὲν πρωτεύουσι τῆς χώρας μετανάστασιν, τοῖς δὲ λοιποῖς θόρυβον ἀπειλεῖ. εἰ δὲ ἀπὸ πρώτης φυλακῆς τῆς νυκτὸς ἕως τρίτης ἀρχομένης σεισμὸς B γένηται, τοῖς μὲν διὰ λόγων ὀφθεῖσιν ἀτιμίαν ἀπειλεῖ, τοῖς δὲ βιβλίοις φθορὰν καὶ [τοῖς] περὶ τὴν ἀνατολὴν πολέμους.

Σελήνη λέοντι. εἰ ὁ ἥλιος ἀμαυρὸς γενήσεται, μέγας ἀνὴρ ἀπολεῖται, ἐπὶ δὲ τῶν πραγμάτων ἕτερος ἔσται ἀρχικώτερος. εἰ ἡ σελήνη ἀμαυρὰ γέ[νηται] τῇ ἑωθινῇ φυλακῇ, στράτευμα ἀλλότριον ἐπελεύ[σεται τῇ τοῦ βασι]λέως χώρᾳ. ἐὰν σεισ[μὸς] γένηται, θόρυβος

v. 1 ἀπὸ εἰκοστῆς πέμπτης corr. H. pro ἀπο ιε || v. 4 κλεινοῦ H. coni. pro καινοῦ, cf. p. 130 A || v. 13 ἡ add. Bekker || v. 16 ἡμέρας scripsi pro ὥρας || v. 18 pro λοιποῖς H. coni. κοινοῖς, quod opponatur τοῖς πρωτεύουσιν || v. 26 H. restituit ex phrasi simili supr. v. 7 ||

c ἔστ[αι καὶ ἀ]νδρὸς δυ[να]τοῦ ἀναίρεσις. εἰ κεραυνὸς
78A πεσεῖται, πόλει[ς πα]ράλ[ιοι ἐρημω]θήσονται. εἰ ἡ
σελήνη αἱματοειδὴς φανῇ, ἀπώ[λειαν δ]υνατ[ῶν δη]-
λοῖ. εἰ ἄνεμος σφοδρὸς πνεύσῃ, τῇ χώρᾳ συνοίσει.
ἐὰν ὁμίχλη [πέσῃ, ἀ]νάγκη συμπεσεῖται ἀνδρὶ μεγάλῳ.
ἐὰν σεισμὸς γένη[ται ἀπὸ] νου[μηνίας ἕ]ως δεκάτης,
φόνους καὶ στενώσεις καὶ φθορὰν τῶν κτηνῶν ἀπει-
λεῖ [ἢ λι]μόν, [με]ταλλάξει δὲ καὶ ὁ ἡγούμενος τῆς
B χώρας. εἰ ἀπὸ δεκάτης ἕως τριακοστῆς σεισμὸς [γέ-
νηται], σημαίνει μὲν ταραχὰς καὶ φυγάς, ἐλπίδα δὲ
ἀγαθῶν. εἰ σεισμὸς γένηται „νύκτα παρ' ἀμφιλύκην",
πρὸς μὲν βραχὺ ἀγα[θὰ ἔσται], ἀκολουθήσει δὲ τὰ
πάντων ἀλγεινότατα.

Σελήνη παρθένῳ. εἰ ὁ ἥλιος ἐρυθρὸς γένηται, 297
[σύμ]μαχοι ἀποστήσονται. εἰ ἡ σελήνη ἀμαυρὰ γένη-
80A ται τῇ πρώτῃ φυλ[ακῇ, φ]θορὰ κτηνῶν ἔσται. εἰ τῇ
ἑωθινῇ φυλακῇ τὸ αὐτὸ γένητ[αι, μέγας ἀνὴ]ρ ἀπο-
λεῖται. εἰ ὁ τῆς [Ἀ]φρο[δί]της ἀστὴρ πλησίον τῇ σε-
[λήνῃ γένηται, πολέμ]ους ἐμφ[υλίους ἀ]πειλεῖ. εἰ
πρηστὴρ πέ[σῃ, αἱ]παράλιοι πόλεις ἀφ[ανισθήσονται.
εἰ ἀπὸ γ]ῆς ἦχος γένηται, πόλεμον τοῖς παραλίοις
[ἀπει]λεῖ. [εἰ σελήν]ης ἀνισχούσης αἱ κεραῖαι [αὐτῆ]ς
ἀλλήλαις πλησιάσωσι, κατο[μβρίαν δηλοῖ] εἰς ἀπώ-
B λειαν καρπῶν. εἰ ἐκλίπῃ ἡ σελήνη, μέγας ἀ[νὴρ ἀ]πο-
λεῖται. εἰ σεισμὸς γένηται, ἀνθρώπων φθορὰν ἀπει-
λεῖ. εἰ ἐν ἡμέρᾳ ἀστέρες φανῶσιν, ἀναίρεσις ἔσται
ἀνθρώπων. εἰ ἄνεμος βίαιος πνεύσῃ, εἰρήνην παρ'
ὅλον τὸν ἐνιαυτὸν δηλοῖ. εἰ σεισμὸς γένηται ἀπὸ
82A νουμηνίας ἕως ἑβδόμης, εὐθηνίαν, ἅμα δὲ καὶ βίαιον
θάνατον προσδοκητέον καὶ Περσῶν ἔφοδον. εἰ ἀπὸ

v. 11 νύκτα παρ' ἀμφιλύκην] corr. Hercher pro νυκτὸς παρ' ἀμφιλύκῃ coll. Homer. Η 433 ||

ὀγδόης ἕως δεκάτης σεισμὸς γένηται, ἔνδειαν σίτου ἀπειλεῖ. εἰ σεισμὸς γένηται νυκτός, φθορὰν τῶν πρωτευόντων τοῦ ἔθνους καὶ ἀλλοίωσιν τῶν πραγμάτων ἀπειλεῖ. εἰ πολλάκις γένηται σάλος, ταραχὰς καθολικὰς προλέγει καὶ τῶν δυναστῶν μετάπτωσιν.

20. Σελήνη Ζυγῷ. εἰ ὁ οὐρανὸς ταραχώδης γένηται ἐπὶ τῆς πρώτης φυλακῆς τῆς νυκτός, λιμὸν ἀπειλεῖ· εἰ δὲ ἐπὶ δευτέρας, δυτικαὶ πόλεις αἰχμαλω- B
τισθήσονται· εἰ δὲ ἐπὶ τῆς ἑωθινῆς, λικμητὸν ἀνθρώποις ἀπειλεῖ. εἰ ἦχος ἀπὸ τῆς γῆς γένηται, φθόνους
298 ἀπειλεῖ. εἰ πρηστὴρ πέσῃ, παλαιαὶ πόλεις ἐρημωθήσονται. εἰ ὁ ἕσπερος ὑπὸ τῆς σελήνης διέλθῃ, ἀνὴρ δυνατὸς ἀναιρεθήσεται. εἰ παρὰ πάντα τὸν μῆνα βίαιος ἄνεμος ῥεύσῃ, ταραχὰς ἀπειλεῖ. εἰ σεισμὸς ἀπὸ νουμηνίας ἕως δεκάτης γένηται, φθορὰ κτηνῶν ἔσται καὶ πτῶσις τοῦ ἡγουμ[ένου τῆς] χώρ[ας]· εἰ δὲ ἀπὸ ἑνδεκάτης ἕως $\overline{\lambda}$, προνομὴν ἀπειλεῖ τῆ[ς χ]ώρας. C

Σελήνη σκορπίῳ. [εἰ κατὰ τὴν] πρώτην τῆς νυκτὸς φυλακὴν αἱματώδ[ης ἡ σελήνη φανῇ, ἀν]ταρσίαν καὶ ἑτέρου προαγωγὴν δηλοῖ. εἰ ὁμιχλ[άνῃ ὁ ἀὴρ ἢ ἐπὶ γῆ]ς ῥίψῃ τὴν ἀχλύν, φθορὰ ἔσται σίτου. 84 A
εἰ δὲ διάττῃ ἀστήρ, [φθορ]ὰν σίτου καὶ ἀνθρώπω[ν ἀπειλε]ῖ, ὅταν μέντοι ἀπὸ ἀνατολῶν εἰς δυσμὰς ἐκτρέχοι. εἰ δὲ ἦ[χος ἐκ τῆς γ]ῆς γένηται, φυγὴν ἀπ[ειλεῖ]. εἰ δὲ αἱ κεραῖαι τῆς σελ[ήνης σ]υμ[πέσωσι], σῖτος μὲν ἔσ[ται πολύς, τετρα]πόδων δὲ θά[νατος καὶ θηρ]ίων ἔσται. εἰ σεισμὸς γέ[νηται, ἀνὴρ ἀ]πολεῖ[ται μέγας. εἰ δ' ὁ ἕ]σπ[ερο]ς ἐγγίσῃ τῆς σελήνης, θόρυβοι ἔσονται. B

v. 10 φόνους coni. H. || v. 17 ἀπὸ ἑνδεκάτης corr. H. pro απο $\overline{\iota\epsilon}$ || v. 21 ῥήξῃ coni. H. pro ῥίψῃ || v. 24 φυγειν *C* ||

Cελήνη [τοξό]τῃ. [εἰ ἡ cελήνη αἱματώδης φα-
νῇ, πόλ]ει[c μ]εγάλαι ἀνάcτατοι ἔcονται. εἰ ἡ [cελήνη
ἀμαυρὰ γένηται κα]τὰ τὴν πρώτην φυλακὴν ἢ κατὰ
τὴν [μεc]ομ[ηνίαν, οἱ περὶ τὰ βαcί]λεια ταραχθήcον-
86 A ται· εἰ δὲ κ[ατὰ τὴν] δευτέραν φυλακήν, τοῖc ἐν θα-
λάccαιc πόλεμον δηλοῖ· εἰ δὲ τῇ ἑ[ωθι]νῇ, ἀνὴρ δυ-
νατὸc ὑπὸ βαcιλέωc ταραχθήcεται. εἰ κατὰ τὸν αὐ-
τὸν καιρὸν ἡ cελήνη αἱματώδηc φανῇ, cφαγὰc ἀπει-
λεῖ. εἰ πνεῦμα βίαιον παρ' ὅλον πνεύcῃ τὸν μῆνα,
ἄνδρεc μεγάλοι ἀπολοῦνται. εἰ ἀcτὴρ διάττοι ἀπὸ 299
τοῦ νότου ἐπὶ τὸν βορρᾶν, οὐ μόνον αὐτὸν πνεῦcαι
τὸν νότον ἀλλὰ καὶ πόλεμον τοῖc ἐπιθαλαccίοιc δη-
B λοῖ. εἰ ὁμίχλη πέcῃ εἰc τὴν γῆν, βλαβερὸν τῷ cπό-
ρῳ. εἰ ἐκλείψῃ ἡ cελήνη, φθορὰ ὑποζυγίων ἔcται.
εἰ ἦχοc ἐκ τῆc γῆc γένηται, ἀνθρώπων φυγὴ ἔcται.
εἰ αἱ κεραῖαι τῆc cελήνηc cυμπέcωcι, cῖτοc ἔcται πο-
λὺc καὶ θάνατοc τετραπόδων καὶ φθίcιc ἀνθρώπων.

ΠΕΡΙ ΒΡΟΝΤΩΝ

C 21. Πολλῶν καὶ ὑπὲρ ἀριθμὸν ὄντων ὅcα τοῖc
φυcικοῖc περὶ βροντῶν ἐδόκει, κέκριται cυμβαίνειν
αὐτὰc ἀπορρηγνυμένων τῶν νεφῶν καὶ ἐπικυλιομέ-
νων ἑαυτοῖc κινήcει cφοδρᾷ, τῇ τε προcρήξει ἐξα-
πτομένων εἰc ἀcτραπὰc καὶ ἤχουc κάρτα βιαίουc, ἀλ-

v. 18 institutio tonitrualis (cap. 21 usque ad 26) extat etiam in *R* fol. 70 vers. et *V*, praeterea in *P*, fol. 183 vers. in quibus inscribitur: προοίμιον (προοίμιον om. *RV*) ἰωάννου λαυρεντίου λυδοῦ φιλαδελφέωc ἐπὶ τῆc βαcιλείαc ὑπάρχοντοc (ὄντοc *RV*) ἰουcτινιανοῦ τοῦ μεγάλου καὶ ἀναcταcίου περὶ βροντῶν || v. 20 — p. 49 v. 2 cf. Lyd. de mens. III 53, ubi omnia deprompta sunt ex Aristot. de mundo p. 395ª 11—14 Bekker. || v. 22 προρρήξει *P* || v. 23 βιαίαc *P* ||

λοιοῦcθαι δὲ τὸν ἀνάμεcον τῆc ὑπηνέμου ζώνηc καὶ τῆc γῆc ἀέρα. Χαλδαῖοί γε μὴν δυνάμεων ἀερίων εἶναι φωνὰc μὲν τὰc βροντάc φαcι, δρόμουc δὲ τὰc ἀcτραπάc. τῷ δὲ Ἐπικούρῳ ἀπὸ ξηρᾶc ὀγκώcεωc ἐκ 88 A τῆc γῆc, εἶτα cυγκλειομένηc τοῖc ὄρεcι, δίκην τῶν ἐν τοῖc cώμαcιν ὄγκων, οὔπω διεξόδων τυχόντων, οἳ cτρόφουc καὶ τροχώcειc ἐμποιοῦcι τῷ κατ᾽ αὐτὸν λεγομένῳ κενῷ. οὐδὲ γὰρ δυνάμεων εἶναι πλήρη τὸν ἀνάμεcον οὐρανοῦ καὶ τῆc γῆc δίδωcι χῶρον κατὰ τοὺc Πυθαγορείουc. καὶ ἀληθῆ ἀξιοῖ λέγειν τῷ μὴ καθ᾽ ἑτέραν ἢ κατὰ τὴν θερινὸν ὡc ἐκ τοῦ πλείο- B
300 νοc ὥραν βροντὰc ἐπιρρήγνυcθαι, καὶ διαφερόντωc ἐκδίδοcθαι ξηροτέραc, ἡνίκα βαθείαc οὔcηc τῆc ἐν τῷ μέcῳ χώραc ὄρεcιν ὑψηλοῖc ὁ τόποc ἐκκλείοιτο. καὶ ἅμα μὲν οὖν αὐτοῖν ἑκάτερον γίνεται, ἥτε βροντὴ ἥ τε ἀcτραπή· ἐπειδὴ δὲ ὀξυτέρα τῆc ἀκοῆc ἡ ὄψιc τῷ θᾶττον ἐπὶ πᾶν ἐκτείνεcθαι, πρώτην ὁρᾶcθαι πολλάκιc cυμβαίνει τὴν ἀcτραπήν.

22. Πᾶcα δὲ βροντή, καὶ τούτων αἱ μετέωροι C καὶ διηχέcταται μάλιcτα, cημαίνουcί τι, καὶ διαφε-

v. 1 ἐπηνέμου *P* || v. 3 φαcι om. *P* || δρόμον *P* || v. 4 τῶν δ᾽ ἐπικούρων *P* || v. 4—8 cf. Laert. Diog. X 100 et 103 || v. 5 ἐγκλειομένηc *C* || v. 6 διεξόδου *P* || v. 7 οἳ om. *P* || αὐτῶν *C*, αὐτοὺc *R* || v. 9 τῆc om. *P* || v. 10 ἀληθῆ om. *C* || τῷ] τὸ *C* || v. 11 θερινὴν *P* || v. 12 ὁρᾶν *PRV* || v. 14 ἐγκλείοιτο malit H. || v. 15 αὐτοῖν] sic *P*, αὐτὸν ceteri || ἥτε βροντὴ] corr. Hercher, ἡ βροντὴ *C*, ἤτε βροντὴ *P* || ἤτε ἀcτραπή *P* || v. 14—18 Plin. II 142. *fulgetrum prius cerni quam tonitrum audiri, cum simul fiant, certum est nec mirum, quoniam lux sonitu velocior.* cf. Aristot. meteor. II 9, 9. || v. 17 ἐπανεκτείνεcθαι *P* || v. 19 Plin. II 142. *laeva prospera existumantur, quoniam laevaparte mundi ortus est.* || ἔρωροι *C* ||

ρόντως ἐκ τοῦ ἀριστεροῦ μέρους τοῦ κόσμου· τοῦτο δ' ἂν εἴη τὸ νότιον. αἱ γὰρ πρὸς νότου εἰσὶ θειότεραι κατὰ τὸν ποιητήν, ἐπεὶ καὶ πρὸς τοῦ τῆς γῆς ἐφόρου ἐπιτροπεύεται, ὡς Αἰγυπτίοις δοκεῖ, τοῦ Κρόνου λέγω, ὥσπερ τὸ βόρειον ὑπὸ τοῦ τῆς γενέσεως αἰτίου· ὅθεν καὶ πρὸς νότον τὰ ἱερὰ ἀπευθύνεσθαι
D Ἑβραίοις καὶ Αἰγυπτίοις δοκεῖ. τὰ δὴ οὖν χρησιμώτατα τῶν περὶ τούτου θεωρημάτων καταμαθὼν καὶ τῶν κιβδήλων ἐκκαθάρας τὴν θεωρίαν ὑποθήσω τῷ λόγῳ· ποικίλης γε μὴν οὔσης καὶ πολυσχιδοῦς τῆς θεωρίας, τέως χρειῶδες διαρθρῶσαι τὴν παρά-
90A δοσιν. οἱ μὲν δὴ παλαιοὶ τῶν περὶ ταῦτα σπουδαίων πρὸς τὴν σελήνην καὶ τὰς ἐν αὐτῇ φάσεις τὸν περὶ βροντῶν σκοπὸν ἀπευθύνουσιν, ἐπεὶ καὶ μᾶλλον ἐπιβέβηκεν αὕτη τῷ γένει τῷ παντὶ καὶ πάντα προσεχῶς διοικεῖται δι' αὐτῆς, ὅθεν καὶ τύχη πρός τινων καὶ πρόνοια λέγεται· οἱ δὲ Αἰγύπτιοι πρὸς ἥλιον καὶ τοὺς τῶν ἐν οὐρανῷ ζῳδίων οἴκους τὸν στοχασμὸν ἁρμό- 301
B ζειν διισχυρίζονται. καὶ οἱ μὲν καθ' ἑκάστην ἡμέραν τοῦ ἡλιακοῦ μηνός, οἱ δὲ ὡσαύτως ἐφήμερον τὸν σεληνιακὸν μῆνα διαλαμβάνουσι. καὶ οὗτοι μὲν πρὸς τὰ ζῴδια τὸν ἥλιον, ἐκεῖνοι δὲ τὴν σελήνην ἀνιχνεύουσιν. ὥστε χρειῶδες πάντων ἀνὰ μέρος καὶ μὴ ὑφ' ἓν ἐπιμνησθῆναι, καὶ πρῶτον τῶν ἡλιακῶν σημείων· δεῖ γὰρ ἥλιον κάλλει καὶ δυνάμει τὴν πᾶσαν διακόσμησιν ἀναβεβηκότα, καὶ τοσούτῳ κρείττονα τῶν

v. 1 ante ἐκ H. αἱ addi mavolt. || v. 2 νότου scripsi ex Homero pro νότον || v. 3 κατὰ] καὶ *C* || verba sunt Homeri ν 111 „αἱ δ' αὖ πρὸς νότου εἰσὶ θεώτεραι.“ || v. 10 ποικίλης *P*, ceteri ποικίλως || v. 12 μὲν δὴ om. *CP* || v. 13 τὴν σελήνην καὶ] om. *C* || αὐτοῖς *P* || τὸν] τῶν *C* || v. 14 σκοπῶν *C* || v. 23 πάντων om. *P* || μὴ add. *P* || v. 26 τοσοῦτον *P* ||

αἰcθητῶν ὅcῳ τἀγαθὸν τῶν νοητῶν, κἀνταῦθα τὰ πρῶτα λαβεῖν.

23. Ὁ ἥλιος αἰγοκέρωτι μηνὶ Ἰανουαρίῳ. C ἡλίου πρὸς αἰγόκερων παριόντος, εἰ βροντὴν ἐπιρραγῆναι cυμβαίη, ἀχλὺc ἔcται παχεῖα καὶ καπνώδηc, ὡc ἀώρουc τοὺc καρποὺc ἐναπομαρανθῆναι τοῖc φυτοῖc, καὶ ἄποιοc ὁ οἶνοc. εἰ δὲ μέχρι τῆc ἐπιτολῆc τοῦ κυνὸc ἡ ἀχλὺc ἐπιμένοι, ἐπίνοcοc ὁ ἐνιαυτὸc D ἔcται καὶ cίτου ἐνδεήc. διαφερόντωc δὲ ταῦτα cυμβήcεται ἐπί τε Μακεδονίαc Θρᾴκηc Ἰλλυρίδοc καὶ τῆc ἄνω Ἰνδικῆc Ἀριανῆc τε καὶ Γεδρωcίαc· καὶ γὰρ αὗται ὑπὸ τὸν αἰγόκερων. ταραχαὶ δὲ καὶ φόβοι τοῖc θήλεcι τῶν ζῴων, λογικῶν τε καὶ ἀλόγων, ἐπιγενή- 92 A cονται, ὅτι θῆλυ ζῴδιον ὁ αἰγόκερωc.

Ὁ ἥλιος ὑδροχόῳ μηνὶ Φεβρουαρίῳ. ἡλίου ἐπὶ ὑδροχόον ἰόντοc εἰ βροντὴν γενέcθαι cυμβαίη, Cαυρομάταιc Ὀξιανοῖc Cογδιανοῖc, Ἀραβίᾳ μικρᾷ, Ἀζανίᾳ μέcῃ, Αἰθιοπίᾳ (ὑδροχόῳ δὲ ἀνάκεινται αὗται αἱ χῶραι) ἀφθονίαν μὲν τοῦ cίτου διαcημαίνει, πτῶcιν δὲ ἀνδρῶν ἐνδόξων ἐν ταῖc εἰρημέναιc διαφαινο- B
302 μένων χώραιc, καὶ οὐκ ἀνδρῶν μόνον ἀλλὰ καὶ τῶν ἐν τοῖc ἄλλοιc ζῴοιc ἀρcενικῶν, ὅτι ἄρρεν ζῴδιον ὁ ὑδροχόοc.

v. 1 ὅcον *P* || κἀνταῦθα πρῶτον *PV* || ante v. 3 add. rubr. *P:* βροντοcκοπία ἐκ τῶν φωτίου (corrige φοντηίου) τοῦ ῥωμαίου κατ᾽ ἑρμηνείαν πρὸc λέξιν ἰωάννου λαυρεντίου λυδοῦ. || v. 3 ὁ ἥλιοc — Ἰανουαρίῳ] μηνὶ ἰανουαρίω περὶ βροντῶν ἐκ τοῦ ἡλίου *P* || ante ἡλίου add. rubr. τοῦ *P* || v. 4 πρὸc] τὸν *P* || v. 8 ἐπιμένει *P* || v. 10 ante Θρᾴκηc add. καὶ *P* || v. 11 ἀδριανῆc *P* || γεδρουcίαc *P* || v. 15 ante ἡλίου add. τοῦ *P* || v. 16 βροχὴν *C* || v. 17 cουγδιανοῖc *P* || ἀραβία μικρά, ἀζανία, μέcη αἰθιοπία. *P* ||

Ὁ ἥλιος ἰχθύσι μηνὶ Μαρτίῳ. ἡλίου ἰχθύσι γενομένου εἰ τυχὸν ἐν ἡμέρᾳ βροντὴ γένηται, ὁ ἄμητος ἔσται γεννημάτων ἀφθονώτατος, οἵ τε ὑγροὶ καρποὶ οὐχ ἥκιστα ἐπιδώσουσιν ἐπί τε τῆς καθ' ἡμᾶς Λυδίας Κιλικίας Παμφυλίας Φαζανίας Νασαμωνίτιδος C καὶ Γαραμαντικῆς (καὶ γὰρ ὑπὸ τοῖς ἰχθύσιν αἱ χῶραι). τὰ δὲ θήλεα τῶν ζῴων ἀπὸ λογικῶν ἕως ἀλόγων σκυθρωπάσει ὅτι θῆλυ ζῴδιον οἱ ἰχθύες.

24. Ὁ ἥλιος κριῷ μηνὶ Ἀπριλίῳ. ἡλίου ἐπὶ τὸν κριὸν ἀνιόντος εἰ βροντὴν γενέσθαι συμβαίη ἀλλὰ μὴ βροχὴν ἐπακολουθῆσαι, ἐπὶ Βρεταννίας, Γαλατίας, D Γερμανίας, Βασταρνῶν, Συρίας κοίλης, Ἰουδαίας, Ἰδουμαίας πτῶσις ἀνθρώπων ἔσται θόρυβοί τε κατὰ πόλεις καὶ πνιγμοὶ καὶ αὐχμοὶ καὶ τῶν φυτῶν ἀκαρπία, καὶ διαφερόντως τῶν ἀρρενωπῶν, ὅτι ἄρρεν ζῴδιον ὁ κριός.

Ὁ ἥλιος ταύρῳ μηνὶ Μαΐῳ. κατὰ τοῦτο τοῦ 94 A καιροῦ εἰ βροντὴν ἐπιτροχάσαι συμβαίη, ἔνδειαν τῶν ἐπιτηδείων προσδοκητέον, οὐχ ἥκιστα δὲ τὰ ἀκρόδρυα ἀποτεύξεται· καὶ γὰρ ἁπαλὰ καὶ ὡς πρὸς τοὺς ἄλλους καρποὺς μαλακώτατα. οὐδὲν δὲ ἧττον καὶ

v. 1 post Μαρτίῳ add. *P* rubr. ἔτι καὶ φεβρ. || ante ἡλίου add. rubr. *P* τοῦ || v. 2 τύχοι *P* || βροντὴν γενέσθαι *P* || ὁ om. || v. 6. 7 ita interpunxi et τὰ δὲ ex *P* scripsi; ceteri post ἐπιδώσουσιν (v. 4) interpungunt et τὰ δὲ omitt. || θηλυκὰ *P* || v. 8 σκυθρωπάζει *C*, σκυθρωπάσῃ *P* || v. 9 Ἀπριλίῳ] μαρτί. καὶ ἀπριλλ. rubr. *P* || ante ἡλίου add. τοῦ rubr. *P* || v. 12 Βασταρνῶν corr. H. p. 325 pro Βαστάρνων || v. 12 κοίλης Συρίας *P* || v. 14 καὶ ante τῶν om. *P* || v. 16 ζῴδιον ἄρρεν *P* || v. 17 Μαΐῳ] ἀπριλλ. καὶ μάιος rubr. *P* || κατὰ τοῦτο τοῦ καιροῦ] τοῦ (rubr.) ἡλίου ταύρῳ ὄντος *P* || v. 18 ἐπιτροχάσαι] γενέσθαι *P* || v. 20 ἐπιτεύξεται *PR* ||

πόλεις αἱ πρὸς τῇ θαλάττῃ πολεμίοις παραστήσονται,
ἐπί τε τῶν Κυκλάδων καὶ τῶν παραλίων τῆς μικρᾶς
Ἀσίας (καὶ γὰρ Ἀφροδίτης ἡ θάλαττα), Κύπρου Μη-
303 δίας τε καὶ Περσίδος αὐτῆς, ἐπεὶ καὶ μαλακώτερα τὰ B
ἔθνη, ὅτι θῆλυ ζῴδιον ὁ ταῦρος. ταύτῃ γὰρ καὶ ταῦ-
ρος Εὐρώπης ἐρασθῆναι λέγεται, ὅτι τοῦ ἀνατολικοῦ
κέντρου κριῷ, ἔστι δ' ὅπου καὶ πρὸ αὐτοῦ, νέους
δρῶντος καρποὺς μόλις Εὐρώπη ὑπὸ τῷ ταύρῳ
βλέπει.

Μηνὶ Ἰουνίῳ. εἰ ἐν διδύμοις ἡλίου ὄντος
βροντὴν γενέσθαι συμβαίη, ὑγρῶν μὲν καὶ ξηρῶν
καρπῶν ἀφθονίαν ἐλπιστέον, ἀνδρὸς δὲ δυνατοῦ
ἀθρόαν ἀπόπτωσιν. Ὑρκανία δὲ καὶ Ἀρμενίαι δύο,
Ἀμαδιανή, Μαρμαρική, Αἴγυπτος ἡ κάτω, παρὰ τὰς C
ἄλλας χώρας ἀτυχήσουσι, καὶ διαφερόντως περὶ τοὺς
ἄνδρας· καὶ γὰρ ἀρσενικὸν ζῴδιον οἱ δίδυμοι καὶ ἀν-
θρωποειδὲς καὶ φίλιον.

25. Μηνὶ Ἰουλίῳ. ὅτι μὲν ὁ μὴν Κουϊντίλιος
οὗτος τὸ πρὶν ὠνομάζετο, πρὸς δὲ τιμῆς Ἰουλίου
Καίσαρος εἰς ταύτην μετετέθη τὴν προσηγορίαν, εἰς
πλάτος ἡμῖν εἴρηται ἐν τῇ περὶ Μηνῶν πραγματείᾳ. D
εἰ τοίνυν καρκίνῳ ἡλίου γενομένου βροντὴν γενέσθαι
συμβαίη, οἴνου μὲν δαψίλεια, τοῦ δὲ ἀέρος ξηρότης
ἔσται. νόσοι τε φρικώδεις καὶ πυρεκτικοὶ καὶ κινδύ-

v. 3 θάλασσα, κύπρου τε, μηδίας καὶ *P* || v. 8 δρῶν τοὺς *P* || τῷ om. *P* || v. 9 βλέπει] ὁρᾷ *PR* || v. 10 Ἰουνίῳ — βροντὴν] μάιος καὶ ἰουν. τοῦ (hucusque rubr.) ἡλίου διδύμοις ὄντος εἰ βροντὴν *P* || v. 13 ὑρκανίαι *P* || v. 15 ἄλλας] ἄκρας *PV* || v. 18 Ἰουλίῳ — οὗτος] ἰουν. καὶ ἰουλ. ὁ (hucusque rubr.) μὴν οὗτος κυντίλιος *P* || v. 20 εἰς πλάτος — πραγματείᾳ] om. *P* || v. 21 legitur ap. Lyd. de mens. IIII 63 || v. 22 ἡλίου τοίνυν γινομένου ἐν καρκίνῳ εἰ βροντὴν *P* ||

νων ἐγγὺς ἐπί τε Βιθυνίας καὶ Φρυγίας ὅλης, Κολχι-
96 A κῆς, Νουμιδίας, Καρχηδόνος καὶ Ἀφρικῆς ταῖς θη-
λείαις διαφερόντως προσπεσοῦνται. φθαρήσεται δὲ
καὶ τὰ ἐνάλια τὰ ὀστρακώδη μάλιστα· καὶ γὰρ θῆλυ
ζῴδιον καὶ σελήνης οἶκος ὁ καρκίνος.

Μηνὶ Αὐγούστῳ. Σεξτίλιος τὸ πάλαι καὶ 304
οὗτος ὁ μήν· Αὔγουστος δὲ τῷ ἴσῳ τρόπῳ πρὸς
μνήμης Αὐγούστου Καίσαρος μετεκλήθη, ὡς ἡ ἱστο-
ρία λέγει. ἐφ᾽ οὗ ἡ βροντὴ γενομένη ἡλίου ὄντος
ἐν λέοντι θόρυβον ἐξαίσιον τοῖς πράγμασι καὶ φθο-
B ρὰν τοῖς καρποῖς ἐκ θηρίων ἀπειλεῖ ἐπί τε Ἰταλίας
Γαλλιῶν Σικελίας Φοινίκης Ὀρχηνίας ἤτοι Ἀντορχη-
νίας. οὐχ ἥκιστα δὲ ταραχθήσονται οἱ ἄνδρες τῶν
ἐθνῶν τούτων· καὶ γὰρ ἄρρεν ζῴδιον ὁ λέων.

Μηνὶ Σεπτεμβρίῳ. ἡλίου παρθένῳ γενομένου εἰ βροντὴν γενέσθαι συμβαίη, φθορὰν ζῴων εὐλαβητέον, ἁρπαγάς τε πολεμίων καὶ ἀνδραποδισμοὺς ἀνήβων, καὶ διαφερόντως τῶν παρθένων, ἐπειδὴ

v. 1 ἐπί τε] ἐπὶ τῆς *P* || v. 2 Καρχηδόνος scripsi pro Καρτάπων coll. Lyd. p. 258 *B* et Ptolem. tetrab. II 2, Carteiam vel Cartennam dubitanter proposuit H. || v. 3 φθαρήσεται corr. Hercher pro φθαρήσονται || v. 4 τὰ ante ὀστρακώδη om. *C* || θηλυκὸν *P* || v. 5 ὁ om. *P* || v. 6 ἰουλ. καὶ αὐγουστ. (rubre) *P* || ante Σεξτίλιος transponit καὶ οὗτος ὁ μὴν *P* || πάλαι] πρὶν ὠνομάζετο *P* || v. 7 Αὔγουστος δὲ] πρὸς δὲ μνήμης Αὐγύστου Καίσαρος *P* || πρὸς—Καίσαρος] om. *P* || v. 8 ὡς—λέγει] αὔγουστος *P* || v. 9 ἡ — γενομένη] εἰ βροντὴ γένοιτο *P* || ἡλίου ὄντος ἐν λέοντι] ex *P* addidi, qui praeterea ante ἡλίου add. τοῦ || v. 11 θηρίων] τῶν θηρείων *P* || v. 12 ἤτοι ἀντορχηνίας om. *P* || v. 15 αὐγουστ. καὶ σεπτεμβρ. rubr. *P* || ante ἡλίου add. rubr. τοῦ *P* || v. 16 βροντὴ *P* || v. 18 τῶν om. *P* || ἐπεὶ καὶ *P* ||

θῆλυ ζῴδιον ἡ παρθένος. ἐπὶ Ἑλλάδος δὲ ταῦτα συμβήσεται, Κρήτης Βαβυλωνίας Μεσοποταμίας καὶ C Κοίλης Συρίας.

26. Ἥλιος ζυγῷ μηνὶ Ὀκτωβρίῳ. ἡλίου ζυγῷ γενομένου ἐὰν βροντὴ γένηται, θορύβους καὶ στάσεις σφαλερὰς μετὰ δυσμὰς ἡλίου ἀναφθῆναι προλέγει, καὶ τῇ ἀμπέλῳ τὴν ἐκ θηρίων βλάβην ἀπειλεῖ, ἐπί τε Βακτρίας, Κασπίας, Σηρικῆς, Θηβῶν τῶν ἄνω, D Ὀάσεως, Τρωγλοδυτικῆς. ἡ δὲ ἐκ τοῦ θορύβου βλάβη οὐ γυναικῶν, ἀνδρῶν δὲ μᾶλλον καθάψεται, ἐπεὶ καὶ ἄρρεν τὸ ζῴδιον.

Ἥλιος σκορπίῳ μηνὶ Νοεμβρίῳ. εἰ κατὰ τοῦτο τοῦ καιροῦ βροντὴν γενέσθαι συμβαίη, ἀνὴρ μὲν δυ- 305 νατὸς ἐκ τοῦ πολιτεύματος πεσεῖται, ὁ δὲ σῖτος 98 A ἄφθονος ἔσται ἐπί τε Κομμαγηνῆς Συρίας, Κασπίας, Μαυριτανίας καὶ Γαιτουλίας. τὸ δὲ θῆλυ γένος τῶν ζῴων κακωθήσεται, καὶ διαφερόντως ἐπὶ τῶν χωρῶν τούτων, ὅτι θῆλυ ζῴδιον ὁ σκορπίος.

Μηνὶ Δεκεμβρίῳ. ἡλίου ἐπὶ τοξότην ἰόντος εἰ βροντὴν ἐπιρραγῆναι συμβαίη, τοῖς Περσῶν βασι-

v. 1 ἐπὶ Ἑλλάδος — συμβήσεται] sic scripsi ex *P*, οὐκ ἀπ quattuor vocabula deleta ταῦτα συμβήσεται, ἀλλ' ἐπὶ Ἑλλάδος *C*, haec usque ad finem capitis teste Hasio om. *RV*, quamquam ipse affert scripturam codicis *R* ad v. 3 || v. 2 βαβυλῶνος *P* || v. 3 κοίλης] ὅλης *PR*, malim ὅλης Ἀσσυρίας. || v. 4 σεπτρ. καὶ ὀκτρ. rubr. *P* || τοῦ ἡλίου ὄντος ἐν ζυγῷ *P* || v. 8 Κασίας *P*, fortasse recte || v. 9 θάσεως *CPR* || v. 12 σεπτρ. καὶ ὀκτρ. rubr. *P* || εἰ κατὰ τοῦτο τοῦ καιροῦ] τοῦ ἡλίου ὄντος ἐν σκορπίῳ *P* || v. 15 καὶ ante Συρίας delevi cum *P* cf. p. 258 [B]; ceteri habent || v. 16 καὶ ante Γαιτουλίας om. *P* || v. 17 καὶ διαφερόντως] διαφερόντως δὲ *P* || v. 19 νοεμ. καὶ δεκεμ. rubr. *P* || τοῦ ἡλίου *P* || v. 20 βροντὴ (om. ἐπιρραγῆναι) *P* ||

λεῦϲι κίνδυνοϲ ἐπιπεϲεῖται τῷ τε ἔθνει παντί. ἡ δὲ
B Κελτικὴ πρὸϲ Ἱϲπανίαϲ καὶ Τυρρηνία καὶ ἡ εὐδαίμων Ἀραβία ϲφόδρα ταραχθήϲεται, καὶ διαφερόντωϲ τοῖϲ ὅπλοιϲ, ἐπεὶ καὶ ἄρρην ὁ τοξότηϲ.

v. 1 ἐπιπεϲεῖται] ἐπιϲεῖται *P* || παντί] τί παν *P* || v. 2 τυρρηνίαϲ *P* || τῇ εὐδαίμονι Ἀραβίᾳ *C* || v. 3 καὶ διαφερόντωϲ] οἱ *P* || in *P* secuntur quae p. 156 A usque ad p. 163 D leguntur, postea Nigidi tonitruale ||

306 ΕΦΗΜΕΡΟϹ ΒΡΟΝΤΟϹΚΟΠΙΑ 100

ΤΟΠΙΚΗ ΠΡΟϹ ΤΗΝ ϹΕΛΗΝΗΝ

ΚΑΤΑ ΤΟΝ ΡΩΜΑΙΟΝ ΦΙΓΟΥΛΟΝ

ЄΚ ΤΩΝ ΤΑΓΗΤΟϹ

ΚΑΘ' ЄΡΜΗΝЄΙΑΝ ΠΡΟϹ ΛЄΞΙΝ

27. Εἰ ἐπὶ πάϲαιϲ ταῖϲ τῆϲ διοϲημείαϲ παραδό- A ϲεϲι τὴν ϲελήνην φαίνονται λαβόντεϲ οἱ ἀρχαῖοι (ὑπ' αὐτὴν γὰρ τά τε βροντῶν τά τε κεραυνῶν ἐκδέδοται ϲημεῖα), καλῶϲ ἄν τιϲ ἄρα καὶ τὸν ϲελήνηϲ οἶκον ἐπι- λέξαιτο. ὥϲτε ἀπὸ τοῦ καρκίνου καὶ ἐνταῦθα τὴν ἐφήμερον ἀπὸ τῆϲ ϲεληνιακῆϲ νουμηνίαϲ κατὰ τοὺϲ ϲεληνιακοὺϲ μῆναϲ ληψόμεθα τῶν βροντῶν ἐπίϲκε- ψιν· ἐξ ἧϲ τὰϲ τοπικάϲ, ἐφ' ὧν ῥήγνυνται χωρίων B αἱ βρονταί, παρατηρήϲειϲ οἱ Θοῦϲκοι παρέδοϲαν.

ΜΗΝΙ ΙΟΥΝΙΩ

307 Ϲελ. α'. ἐὰν βροντήϲῃ, τῶν καρπῶν εὐφορία ἔϲται, ἐξηρημένων κριθῶν· νοϲήματα δὲ ἐπιϲφαλῆ τοῖϲ ϲώμαϲιν ἐπιϲκήψει.

β'. ἐὰν βροντήϲῃ, ταῖϲ μὲν ὠδινούϲαιϲ ἀπαλλαγὴ μᾶλλον ῥᾳδία, τοῖϲ δὲ θρέμμαϲι φθορά, ἰχθύων γε C μὴν ἀφθονία ἔϲται.

Nigidi tonitruale edidit Rutgers var. lection. p. 247—260 ex *P* (vid. praefat.) || v. 6 πάϲηϲ *P* || ταῖϲ add. Hercher || v. 9 τὴν ϲελήνην *P* || ἐπιλέξατο *P* || v. 11 post νουμηνίαϲ Hase in comm. de Lydi scriptis etc. p. LI διακοϲμήϲαντεϲ addi volt. || v. 12 λειψόμεθα *P* || v. 13 post τοπικὰϲ add. δὴ *P* || v. 16 ϲελ. om. *P* || ἐφορία *P* || v. 19 βροντῆ *P* || ὠδυνούϲαιϲ *P* ||

102 A γ΄. ἐὰν βροντήσῃ καύσων ἔσται ξηρότατος, ὥστε μὴ τοὺς ξηροὺς μόνους ἀλλὰ καὶ τοὺς ὑγροὺς καρποὺς διαφρυγέντας ἀποκαυθῆναι.

δ΄. ἐὰν βροντήσῃ, νεφελώδης καὶ ὑετώδης ὁ ἀὴρ ἔσται, ὡς ἐκ σηπτικῆς ὑγρότητος φθαρῆναι τοὺς καρπούς.

ε΄. ἐὰν βροντήσῃ, ἀπαίσιον τοῖς ἀγροῖς· οἱ δὲ
B χωρίοις ἢ πολίχναις ἐφεστῶτες ταραχθήσονται.

ϛ΄. ἐὰν βροντήσῃ, ἀκμάσασι τοῖς καρποῖς ἐντεχθήσεταί τι θηρίον τὸ βλάπτον αὐτούς.

ζ΄. ἐὰν βροντήσῃ, νοσήματα μὲν ἐνσκήψει, ἀλλ᾽ οὐ πολλοὶ ἐξ αὐτῶν τεθνήξονται· καὶ οἱ μὲν ξηροὶ καρποὶ ἐπιτεύξονται, οἱ δὲ ὑγροὶ ξηρανθήσονται.

C η΄. ἐὰν βροντήσῃ, ἐπομβρίαν καὶ φθορὰν σίτου δηλοῖ.

θ΄. ἐὰν βροντήσῃ, φθορὰ τοῖς θρέμμασιν ἔσται ἐξ ἐπιδρομῆς λύκων.

ι΄. ἐὰν βροντήσῃ, θάνατος μὲν ἔσται συχνός, εὐθηνία δὲ ὅμως.

ια΄. ἐὰν βροντήσῃ, καύματα μὲν ἀβλαβῆ, τὰ δὲ 308
πολιτικὰ ἐν εὐφροσύνῃ ἔσται.

ιβ΄. ἐὰν βροντήσῃ, ὁμοίως ὡς ἐπὶ τῇ πρὸ ταύτης.

D ιγ΄. ἐὰν βροντήσῃ, δυνάστου πτῶσιν ἀπειλεῖ.

ιδ΄. ἐὰν βροντήσῃ, καυσῶδες μὲν τὸ περιέχον
104 A ἔσται, εὐφορία δὲ τῶν καρπῶν καὶ εὔροια τῶν πο-

v. 1 ἐὰν βροντήσῃ] sic *P*, βροντῆς γενομένης *C* || v. 4 ἐὰν βροντήσῃ] om. *P* et ita semper usque ad finem mensis || v. 9 ἀκμάσασαι *P* || v. 11 μὲν om. *P* || v. 16 φθορὰ] θάνατος *P* || v. 20 τοῖς δὲ πολιτικοῖς *P* || v. 22 hic scribit ἐὰν βροντήσῃ *P* || τῇ πρὸ ταύτης] τῆς ἑνδεκάτης *P* || v. 25 εὔροια — οὐχ] sic corr. Hertz de Nigid. Figul. p. 33 not. 3; εὔροια τῶν ποταμῶν· οὐχ *P*, quod non displicuit Hasio,

ταμῶν καὶ ἀφθονία τῶν ποταμίων οὐχ ἥκιστα ἰχθύων. τὰ σώματά γε μὴν ἐξασθενήσει.

ιε΄. ἐὰν βροντήσῃ, τὰ μὲν πτηνὰ λυμανθήσεται τῷ θέρει, οἱ δὲ ἰχθύες φθαρήσονται.

ις΄. ἐὰν βροντήσῃ, οὐκ ἐλάττωσιν μόνον τῶν ἐπιτηδείων ἀλλὰ καὶ πόλεμον ἀπειλεῖ, ἀνὴρ δέ τις B
εὐτυχὴς ἀφανισθήσεται.

ιζ΄. ἐὰν βροντήσῃ, καύματα ἔσται καὶ μυῶν καὶ ἀσφαλάκων καὶ ἀκρίδων φορά· εὐθηνίαν δὲ ὅμως καὶ φόνους τῷ δήμῳ φέρει.

ιη΄. ἐὰν βροντήσῃ, φθορὰν τῶν καρπῶν ἀπειλεῖ.

ιθ΄. ἐὰν βροντήσῃ, τὰ λυμαινόμενα τοῖς καρποῖς C
θηρία φθαρήσεται.

κ΄. ἐὰν βροντήσῃ, διχόνοιαν ἀπειλεῖ τῷ δήμῳ.

κα΄. ἐὰν βροντήσῃ, ἐλάττωσιν μὲν οἴνου, ἐπίδοσιν δὲ τῶν ἄλλων καρπῶν δηλοῖ καὶ ἀφθονίαν ἰχθύων.

309 κβ΄. ἐὰν βροντήσῃ, ἐπίφθορον ἔσται τὸ καῦμα.

κγ΄. ἐὰν βροντήσῃ, εὐφροσύνην καὶ κακῶν ἀπαλλαγὴν καὶ νόσων ἀφανισμὸν δηλοῖ.

κδ΄. ἐὰν βροντήσῃ, εὐθηνίαν δηλοῖ. D

κε΄. ἐὰν βροντήσῃ, πόλεμοι καὶ μυρία ἔσονται κακά.

ita ut lacunam statueret in phrasi sequenti; εὔροια τῶν ποταμίων οὐχ *C* ||

v. 7 εὐτυχεῖς *P* || ἀφανισθήσεται coni. Hercher, ἀφανεῖται *C*, ἀναφανεῖται *P* || v. 8 καὶ post ἔσται om. *P* || μυῶν corr. H. pro μυιῶν coll. p. 120 *A*, 126 *C*, 140 *A*, 146 *A*, 150 *D* aliis || v. 9 φορά] sic *CP*; id quod Rutgers dedit, φθορά, recepit H. || εὐθηνία *P* || ὁμῶς καὶ coni. male H. (coll. ἅμα καὶ p. 114 *A* et καὶ ὁμοῦ p. 112 *A*) || v. 10 φόνους in suspitionem vocat Hercher || v. 11 φθορὰ *P* || v. 12 τοῖς καρποῖς] sic *P*, τοὺς καρποὺς *C* || v. 18 καὶ ante κακῶν om. *P* || v. 19 καὶ ante νόσων om. *P* ||

106 A κϛ΄. ἐὰν βροντήϲῃ, ὁ χειμὼν τοῖϲ καρποῖϲ ἐπιβλαβὴϲ ἔϲται.

κζ΄. ἐὰν βροντήϲῃ, κίνδυνοϲ ϲτρατιωτικὸϲ τοῖϲ κρατοῦϲιν ἔϲται.

κη΄. ἐὰν βροντήϲῃ, εὐετηρία ἔϲται καρπῶν.

κθ΄. ἐὰν βροντήϲῃ, τὰ τῆϲ βαϲιλίδοϲ πόλεωϲ ἔϲται κρείττονα.

B λ΄. ἐὰν βροντήϲῃ, πρὸϲ βραχὺ θάνατοϲ ἔϲται ϲυχνόϲ.

ΙΟΥΛΙΟϹ

28. α΄ Ἐπὶ τῆϲ ϲεληνιακῆϲ νουμηνίαϲ ἐὰν βροντήϲῃ, εὐθηνία μὲν ἔϲται, τῶν δὲ θρεμμάτων πτῶϲιϲ.

β΄. ἐὰν βροντήϲῃ, καλὸν τῷ φθινοπώρῳ.

γ΄. ἐὰν βροντήϲῃ, χειμῶνα βαρὺν ϲημαίνει.

C δ΄. ἐὰν βροντήϲῃ, ἀέριοι ἔϲονται ταραχαί, ὥϲ ἐξ αὐτῶν ϲπάνιν γενέϲθαι.

ε΄. ἐὰν βροντήϲῃ, εὐθηνία μὲν ϲίτου, ἄρχοντοϲ δὲ ἀγαθοῦ πτῶϲιϲ ἔϲται.

ϛ΄. ἐὰν βροντήϲῃ, νόϲουϲ θανατηφόρουϲ ταῖϲ δουλικαῖϲ τύχαιϲ ἀπειλεῖ.

ζ΄. ἐὰν βροντήϲῃ, κατομβρία ἔϲται βλαβερὰ τοῖϲ 310
ϲπορίμοιϲ.

η΄. ἐὰν βροντήϲῃ, εἰρήνην μὲν τοῖϲ κοινοῖϲ, ὄλε-
D θρον δὲ τοῖϲ βοϲκήμαϲι καὶ βῆχα ξηρὸν ἐνϲκῆψαι δηλοῖ.

v. 1 ὁ om. *P* ‖ v. 3 ϲτρατικὸϲ *C* ‖ v. 5 εὐετηρία] sic etiam *P* ‖ ante καρπῶν add. τῶν *P* ‖ v. 10 μηνὶ Ἰουλίῳ rubre *P* ‖ v. 11 ἐὰν βροντήϲῃ (non βροντῇ) habet *P*, sed omittit in reliquis mensis diebus ‖ v. 12 εὐθηνία] ἐλευθερία *P* ‖ v. 15 ὥϲ — γενέϲθαι (v. 16)] om. *P* ‖ v. 20 ψυχαῖϲ coni. Meursius apud Rutgersium perperam pro τύχαιϲ ‖

θ'. ἐὰν βροντήσῃ, ἐποψίαν θεῶν καὶ ἀγαθῶν πολλῶν πρόοδον δηλοῖ.

ι'. ἐὰν βροντήσῃ, σωτηριώδη ἔσται τὰ ποτάμια 108 A
ὕδατα.

ια'. ἐὰν βροντήσῃ, καῦμα σημαίνει καὶ ὄμβρον βίαιον καὶ σπάνιν σίτου.

ιβ'. ἐὰν βροντήσῃ, ψῦχος τῷ θέρει ἔσται ἀδόκητον, δι' οὗ φθαρήσεται τὰ ἐπιτήδεια.

ιγ'. ἐὰν βροντήσῃ, ἑρπετὰ φανεῖται βλαβερώτατα. B

ιδ'. ἐὰν βροντήσῃ, εἰς ἕνα τὴν πάντων δύναμιν ἐλθεῖν φράζει· οὗτος δὲ ἔσται τοῖς πράγμασιν ἀδικώτατος.

ιε'. ἐὰν βροντήσῃ, διχόνοια ἔσται τοῦ δήμου καὶ τοῦ σίτου ἔνδεια.

ιϛ'. ἐὰν βροντήσῃ, πόλεμον ὁ τῆς ἀνατολῆς βασιλεὺς ἐκδεχέσθω καὶ νόσον ἀπὸ ξηροῦ καύματος.

ιζ'. ἐὰν βροντήσῃ, διαδοχὴν μεγάλου ἄρχοντος C
δηλοῖ.

ιη'. ἐὰν βροντήσῃ, ἔνδειαν καρπῶν ἐξ ἐπομβρίας ἀπειλεῖ.

ιθ'. ἐὰν βροντήσῃ, πόλεμον δηλοῖ καὶ ἀπώλειαν δυνατῶν· ἀφθονία δὲ ἔσται τῶν ξηρῶν καρπῶν.

κ'. ἐὰν βροντήσῃ, αὐχμὸν νοσώδη ἀπειλεῖ.

311 κα'. ἐὰν βροντήσῃ, διχόνοια ἔσται τοῖς ὑπηκόοις, D
ἀλλ' οὐκ εἰς μακράν.

v. 1 θείων *P* || v. 2 πρόσοδον coni. Hercher || v. 5 καὶ ante ὄμβρον om. *P* || v. 6 καὶ ante σπάνιν om. *P* || v. 8 δι' οὗ] καὶ οὐ *P* || v. 10 τὴν] τῶν *P* || v. 13 καὶ om. *P* || v. 16 ἐκδεχέσθαι *C* post locum laceratum in membrana; H. suspicatur intercidisse μέλλει et in commate sequenti verbum aliud || v. 19 ἐπομβρίας] sic etiam *P* || v. 20 ἀπειλεῖ] δηλοῖ *C* || v. 22 καρπῶν habet etiam *P* || v. 25 μακρὸν *C* ||

κβ΄. ἐὰν βροντήσῃ, ἀγαθὰ μὲν τοῖς κοινοῖς πράγμασι, νόσους δὲ τοῖς σώμασι περὶ τὴν κεφαλὴν σημαίνει.

110 A κγ΄. ἐὰν βροντήσῃ, ἡ διχόνοια τοῦ δήμου παυθήσεται.

κδ΄. ἐὰν βροντήσῃ, δυνατοῦ ἀνθρώπου δηλοῖ δυνατὸν ἀτύχημα.

κε΄. ἐὰν βροντήσῃ, τῇ νεολαίᾳ κακῶς καὶ τοῖς καρποῖς μετ᾽ αὐτῆς, νοσώδης δὲ ὁ καιρὸς ἔσται.

B κϛ. ἐὰν βροντήσῃ, ἀπὸ μεγάλης εὐθηνίας ἔνδεια ἔσται.

κζ΄. ἐὰν βροντήσῃ, ἐκβρασμὸν τοῖς σώμασιν ἀπειλεῖ.

κη΄. ἐὰν βροντήσῃ, ἔνδεια ὑδάτων καὶ ὄχλος ἑρπετῶν ἐπιβλαβῶν ἔσται.

κθ΄. ἐὰν βροντήσῃ, εὐετηρίαν δηλοῖ.

λ΄. ἐὰν βροντήσῃ, οἱ ἄνθρωποι ἐκ ποινηλασίας ἐπὶ τὰ χείριστα τῶν πταισμάτων ὀλισθήσουσιν.

C

ΑΥΓΟΥΣΤΟΣ

29. α΄. Ἐὰν βροντήσῃ, τὰ τῆς πολιτείας ἠρέμα πως καλλίονα καὶ εὐθηνία ἔσται.

β΄. ἐὰν βροντήσῃ, νόσους ἅμα καὶ ἔνδειαν τῶν ἐπιτηδείων ἀπειλεῖ.

γ΄. ἐὰν βροντήσῃ, δίκας καὶ λέσχας τῷ δήμῳ ἀπειλεῖ.

D δ΄. ἐὰν βροντήσῃ, ἔνδεια τροφῶν λογικοῖς ἅμα 312
καὶ ἀλόγοις ἔσται.

v. 4 ἡ om. *P* || v. 9 ὁ om. *P* || v. 10 ἔσται ἔνδεια *P* || v. 14 καὶ om. *P* || v. 18 ὀλισθήσονται *C* || v. 19 μηνὶ Αὐγούστῳ rubr. *P* || v. 20 εἰ βροντήσῃ *P*, qui in ceteris mensis diebus om. || καὶ ante τὰ add. *C* || v. 26 post λογικοῖς add. τε *P* ||

ε΄. ἐὰν βροντήσῃ, τὰς γυναῖκας συνετωτέρας δηλοῖ.

ϛ΄. ἐὰν βροντήσῃ, μέλιτος μὲν ἀφθονία ἔσται, 112 A ὕδατος δὲ καὶ τῶν λοιπῶν τροφίμων λεῖψις.

ζ΄. ἐὰν βροντήσῃ, ἀνέμους τραχεῖς καὶ νόσους ὁμοῦ σημαίνει.

η΄. ἐὰν βροντήσῃ, νόσον ἀκίνδυνον τοῖς τετραπόδοις ἀπειλεῖ.

θ΄. ἐὰν βροντήσῃ, ὑγίειαν μὲν ἀνθρώποις ὡς ἐκ τοῦ πλείονος ἐπαγγέλλεται.

ι΄. ἐὰν βροντήσῃ, λύπας καὶ μοχθηρίας τῷ πλή- B
θει ἀπειλεῖ.

ια΄. ἐὰν βροντήσῃ, εὐετηρία μὲν ἔσται, πτῶσις δὲ ἑρπετῶν καὶ βλάβη τοῖς ἀνθρώποις.

ιβ΄. ἐὰν βροντήσῃ, χόρτου καὶ βαλάνου ἀφθονία ἔσται, τῇ δὲ πρώτῃ ἡλικίᾳ κακῶς.

ιγ΄. ἐὰν βροντήσῃ, ὄλεθρος ἔσται τοῖς σώμασι λογικῶν τε καὶ ἀλόγων.

ιδ΄. ἐὰν βροντήσῃ, πόλεμον μὲν τοῖς κοινοῖς, C
ἀφθονίαν δὲ τοῖς καρποῖς δηλοῖ.

ιε΄. ἐὰν βροντήσῃ, ἐπὶ τὸ χεῖρον τὰ πράγματα.

ιϛ΄. ἐὰν βροντήσῃ, εἰρήνην βαθεῖαν ἐπαγγέλλεται.

ιζ΄. ἐὰν βροντήσῃ, οἱ χείρους τῶν ἀνθρώπων στυγνάσουσιν.

ιη΄. ἐὰν βροντήσῃ, πόλεμον ἐμφύλιον ἀπειλεῖ.

ιθ΄. ἐὰν βροντήσῃ, φόνους αἱ γυναῖκες καὶ τὸ D
δουλικὸν τολμήσει.

v. 1 post συνετωτέρας add. ἔσεσθαι *P* ‖ v. 4 τροφίμων om. *P* ‖ v. 6 ὁμοῦ om. *P* ‖ v. 9 μὲν om. *P* ‖ v. 10 ἐπαγγέλλει *C* ‖ v. 15 post χόρτου add. μὲν *P* ‖ v. 18 τε om. *P* ‖ v. 23 οἱ] εἰ *P* ‖ v. 24 στυγνάζουσιν *P* ‖ v. 26 φονῶσιν coni. Hercher ‖

κʹ. ἐὰν βροντήσῃ, ὄλεθρον βοῶν καὶ ταραχὰς 313 τοῖς πράγμασιν ἀπειλεῖ.

114 A καʹ. ἐὰν βροντήσῃ, εὐθηνίαν ἅμα καὶ διχόνοιαν τῷ δήμῳ ἀπειλεῖ.

κβʹ. ἐὰν βροντήσῃ, καλὰ μετρίως τὰ πράγματα ἀνὰ πάντα τὸν ἐνιαυτόν.

κγʹ. ἐὰν βροντήσῃ, κεραυνὸν πεσεῖσθαι δηλοῖ καὶ φόνους ἀπειλεῖ.

κδʹ. ἐὰν βροντήσῃ, ἀπώλειαν εὐγενῶν νέων ἀπειλεῖ.

B κεʹ. ἐὰν βροντήσῃ, χειμῶνα καὶ σπάνιν ὀπωρῶν ἔσεσθαι προλέγει.

κϛʹ. ἐὰν βροντήσῃ, πόλεμον σημαίνει.

κζʹ. ἐὰν βροντήσῃ, πολέμους ἅμα καὶ δόλους ἀπειλεῖ.

κηʹ. ἐὰν βροντήσῃ, εὐθηνίαν μὲν τῶν καρπῶν φθορὰν δὲ τῶν βοῶν σημαίνει.

κθʹ. ἐὰν βροντήσῃ, οὐδεμίαν ἐναλλαγὴν σημαίνει.

C λʹ. ἐὰν βροντήσῃ, νόσους τῇ πόλει, ἐφ᾽ ἧς ῥαγήσεται, ἀπειλεῖ.

ΣΕΠΤΕΜΒΡΙΟΣ

30. αʹ. Ἐὰν βροντήσῃ, εὐετηρίαν ἅμα καὶ εὐφροσύνην δηλοῖ.

βʹ. ἐὰν βροντήσῃ, διχόνοια τῷ δήμῳ ἔσται.

D γʹ. ἐὰν βροντήσῃ, κατομβρίαν καὶ πόλεμον δηλοῖ.

v. 7 κεραυνοὺς *P* || καὶ φόνους] φόνους δὲ *C* || v. 11 καὶ om. *P* || v. 12 προλέγει] δηλοῖ *P* || v. 19 νόσους τῇ ἐφ᾽ οἷς *P* || v. 21 μηνὶ σεπτεμβρίῳ rubr. *P* || v. 22 ἐὰν βροντήσῃ hic habet etiam *P*, qui in ceteris mensis diebus omitt. ||

δ΄. ἐὰν βροντήσῃ, δυνατοῦ πτῶσιν καὶ πολέμου παρασκευὴν δηλοῖ.

314 ε΄. ἐὰν βροντήσῃ, κριθῆς μὲν ἀφθονίαν, σίτου δὲ 116 A ἐλάττωσιν δηλοῖ.

ς΄. ἐὰν βροντήσῃ, δύναμις ἔσται ταῖς γυναιξὶ κρείττων ἢ κατ' αὐτάς.

ζ΄. ἐὰν βροντήσῃ, νόσον καὶ πτῶσιν τῷ δουλικῷ ἀπειλεῖ.

η΄. ἐὰν βροντήσῃ, τοὺς μάλιστα δυνατοὺς τοῦ πολιτεύματος σκολιὰ ἐννοεῖν, ἀποτεύξεσθαι δὲ τῶν B νοουμένων κατηγορεῖ.

θ΄. ἐὰν βροντήσῃ, ἄνεμον πνεῦσαι ἐπίνοσον ἀπειλεῖ.

ι΄. ἐὰν βροντήσῃ, ἔρις ἔσται τῷ τόπῳ ἐφ' οὗ ῥαγήσεται πρὸς ἕτερον οὐκ ἄλογος.

ια΄. ἐὰν βροντήσῃ, οἱ ὑπεξούσιοι τῶν εὐγενῶν σκέψονταί τι καινὸν ἐν τοῖς κοινοῖς.

ιβ΄. ἐὰν βροντήσῃ, ἔπομβρον τὸν τοῦ ἀμητοῦ C καιρὸν καὶ λιμὸν ἔσεσθαι λέγει.

ιγ΄. ἐὰν βροντήσῃ, λιμὸν βαρὺν ἀπειλεῖ.

ιδ΄. ἐὰν βροντήσῃ, νόσους ἀπειλεῖ.

ιε΄. ἐὰν βροντήσῃ, κατομβρίαν μὲν δηλοῖ, εὐθηνίαν δὲ ὅμως.

ις΄. ἐὰν βροντήσῃ, ὁ σπόρος πολύς, ἄκαρπος δὲ δηλοῦται.

ιζ΄. εἰ βροντήσῃ, ἔνδειαν τῶν ἀναγκαίων ἀπειλεῖ. D

v. 2 δηλοῖ] δι' αὐτὴν ἔσεσθαι *P* || v. 7 τῶν δουλικῶν *P* || v. 8 ἐξ αὐτῆς ante ἀπειλεῖ del. Hercher || v. 10 ἐννοεῖ *P* || v. 11 νοουμένων coni. Hercher pro ἐσομένων || v. 14 ῥαγήσεται corr. Hercher pro ῥήγνυτο || v. 16 τι καινὸν corr. H., τι κοινὸν *C*, τὸ κοινὸν *P* || ἐπὶ τοῖς κοινοῖς *P*, ἐπὶ τοῖς κακοῖς coni. Rutgers || v. 17 ἔπομβρον *P*, ἐπομβρίαν *C* || v. 19 βαρεῖαν *C* || v. 25 ἀπειλῶν *P* ||

ιη'. εἰ βροντήσῃ, λιμὸν ἅμα καὶ πολέμους σημαίνει.

118 A ιθ'. εἰ βροντήσῃ, ὁ μὲν δενδρώδης καρπὸς ἐπιτεύξεται, νόσοι δὲ καὶ στάσεις δημοτικαὶ ἔσονται.

κ'. εἰ βροντήσῃ, ἀπώλειαν κλεινοῦ ἀνθρώπου 315 καὶ πόλεμον ἀπειλεῖ.

κα'. εἰ βροντήσῃ, λύπας καὶ ζημίας τῷ δήμῳ ἀπειλεῖ.

κβ'. εἰ βροντήσῃ, εὐθηνίαν μέν, χειμῶνα δὲ βαρὺν καὶ ὑγρὸν σημαίνει.

B κγ'. εἰ βροντήσῃ, τὸν χειμῶνα τοῦ ἔτους ἐνδεᾶ προλέγει.

κδ'. εἰ βροντήσῃ, λειψυδρίαν ἀπειλεῖ. τῶν δὲ ἀκροδρύων εὐφορία ἔσται, περὶ δὲ τὸ φθινόπωρον θυέλλαις διαφθαρήσεται.

κε'. εἰ βροντήσῃ, ἐκ διχονοίας τοῦ πολιτεύματος τύραννος ἀναστήσεται, καὶ αὐτὸς μὲν ἀπολεῖται, ζημίαις δὲ ἀφορήτοις οἱ δυνατοὶ ὑποστήσονται.

C

κϛ'. εἰ βροντήσῃ, ὁ κακὸς δυνάστης βουλῇ θεοῦ πεσεῖται.

κζ'. εἰ βροντήσῃ, δυνατοὶ πρὸς ἑαυτοὺς διενεχθήσονται καὶ ἀλλήλους διαβαλοῦσιν.

κη'. εἰ βροντήσῃ, σημεῖα ἔσται πραγμάτων μεγάλων μηνυτικά. εὐλαβητέον δὲ μὴ καὶ πῦρ ἐπομβρήσῃ ἐνιαχοῦ.

D κθ'. εἰ βροντήσῃ, αὐχμὸν ἐπιβλαβῆ ἀπειλεῖ.

v. 5 ἀπειλεῖ] σημαίνει *P* || v. 10 ἐνδεῆ *P* || v. 12 λιψυδρίαν *P* || τῶν δὲ ἀκροδρύων] sic scripsit H., τῶν ἀκροδρύων *P*, τῶν δέκα ἀκροδρύων *C* || v. 14 διαφθαρήσεται corr. Hercher pro διαφθαρήσονται || v. 18 θεοῦ βουλῇ *P* || v. 21 διαβαλοῦσιν coni. H., διαλαβοῦσιν *P*, διαλάβωσιν *C* || v. 22 δ' ἔσται *P*, ἔστι mavolt Rutgers || v. 23 πυρὶ ἐπομβρίσει *C* || v. 24 ἐνιαχοῦ corr. H. pro ἰαχοῦ ||

λ'. εἰ βροντήςῃ, ἀπὸ χειρόνων ἐπὶ τὰ κρείττω τὰ κοινά.

316 ## ΟΚΤΩΒΡΙΟϹ 120 A

31. α'. Εἰ βροντήςῃ, κακὸν τύραννον τοῖς πράγμαςιν ἀπειλεῖ.

β'. εἰ βροντήςῃ, εὐθηνία μὲν ἔςται, φθορὰ δὲ τῶν χερςαίων μυῶν.

γ'. εἰ βροντήςῃ, θυέλλας καὶ ταραχὰς δηλοῖ, δι' ὧν τὰ μὲν δένδρα φθαρήςεται· μεγάλων δὲ ζαλῶν B ἔςται τοῖς κοινοῖς μήνυμα.

δ'. εἰ βροντήςῃ, οἱ ἐλάττους τὰ τῶν κρειττόνων καθέξουςιν, ὑγιεινὸν δὲ ἔςται τὸ τοῦ ἀέρος κατάςτημα.

ε'. εἰ βροντήςῃ, πάντων ἐπιδόςεις τῶν ἀναγκαίων, ἐξῃρημένου ςίτου.

ς'. εἰ βροντήςῃ, ἡ ὄψις μὲν εὐθηνίας, ἀμητὸς C δὲ ἐλάττων, καὶ τὸ φθινόπωρον ἐγγὺς ἄκαρπον.

ζ'. εἰ βροντήςῃ, ὄςπρια μὲν ἄφθονα, οἶνος δὲ ἐλάττων ἔςται.

η'. εἰ βροντήςῃ, ςειςμὸν μετὰ μυκήματος προςδοκητέον.

θ'. εἰ βροντήςῃ, ὄλεθρον θηρίοις ἀπειλεῖ.

ι'. εἰ βροντήςῃ, ἀνδρὸς ἐπαινουμένου πτῶςιν δηλοῖ.

ια'. εἰ βροντήςῃ, ἀλληλανεμίαν ἐπωφελῆ ταῖς D βοτάναις δηλοῖ.

v. 1 ἐπὶ τὰ κρείττονα κοινά *P* || v. 3 μηνὶ ὀκτωβρίῳ rubr. *P* || v. 4 εἰ βροντήςῃ hic habet *P*, qui omitt. per ceterum mensem || v. 7 μυῶν corr. H. pro μυιῶν, quod est in utroque cod. || v. 11 οἱ] εἰ *P* || τὰ add. H. || v. 12 ὑγιεινόν τε *P* || ἔαρος *P* || v. 14 ἐπίδοςις *P* || v. 16 ἡ — εὐθηνίας] om. *P* || v. 17 καὶ om. *P* ||

ιβ΄. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, σκηπτοὶ δὲ ἐκθλιβήσονται.

122 A ιγ΄. εἰ βροντήσῃ, καλὰ τὰ συναλλάγματα, καὶ εὐθηνία πρὸς αὐτοῖς· ὁ δὲ ἐπὶ τῇ πολιτείᾳ βαρὺς οὐκ ἐπὶ πλέον ἰσχύσει.

ιδ΄. εἰ βροντήσῃ, πόλεμον καὶ φθορὰν βοσκημά- 317
των ἀπειλεῖ.

ιε΄. εἰ βροντήσῃ, σπάνις ἔσται πνεύματος ξηροῦ
B καὶ καυστικοῦ ἐμπίπτοντος τοῖς καρποῖς.

ιϛ΄. εἰ βροντήσῃ, ἐξασθενήσουσιν οὕτως ἄνθρωποι ὡς ἄγνωστοι εἶναι δοκεῖν.

ιζ΄. εἰ βροντήσῃ, πλουσίου ἀνδρὸς καὶ εὐγενῶν εὐτυχήματα.

ιη΄. εἰ βροντήσῃ, ἐπείσακτον εὐθηνίαν δηλοῖ.

C ιθ΄. εἰ βροντήσῃ, δυνάστου πτῶσιν ἢ βασιλέως ἐκβολὴν ἀπειλεῖ, διχόνοιάν τε τῷ δήμῳ καὶ ἀφθονίαν δηλοῖ.

κ΄. εἰ βροντήσῃ, ἕλκη ξένα ἀπειλεῖ, τῷ δὲ πλήθει ἐκ διχονοίας ἐσχάτην ἀτυχίαν.

κα΄. εἰ βροντήσῃ, νόσοι βηχώδεις ἔσονται καὶ στηθῶν κακώσεις.

κβ΄. εἰ βροντήσῃ, μοχθηρίας τῷ δήμῳ καὶ νόσους ποικίλας ἀπειλεῖ.

D κγ΄. εἰ βροντήσῃ, ὁ δῆμος εὐφρανθήσεται παραδόξως.

v. 1 δὲ σκολιαὶ βήσονται *C* || v. 8 σπάνη *C* || v. 10 ἀσθενήσουσιν οὕτως οἱ *P* || v. 11 ἄγνωστοι coni. Hercher pro ἀγνώστους || v. 12 λουσίαν (αν corr. in ου) *P*, sed ante λ spatium pro rubric., οὐσίαν coni. Rutgers || v. 14 ιη΄ om. *P* et postea ιη΄ ponit pro ιθ΄, ιθ΄ pro κ΄ etc. usque ad finem mensis || πείσακτον *P*, sed ante π spatium pro rubr. || v. 15 δυνατοῦ *P* || v. 16 τε om. *P* || v. 17 δηλοῖ scripsi pro ἀπειλεῖ || v. 18 post ἀπειλεῖ add. τοῖς ἀνθρώποις *P* || v. 21 ante κακώσεις add. καὶ *P* ||

κδ΄. εἰ βροντήσῃ, ἐκ διχονοίας τῶν κρατούντων ὁ δῆμος περιέσται.

κε΄. εἰ βροντήσῃ, βαρεῖα ἔσται ἀπὸ τῶν κακῶν 124A δειλία.

κς΄. εἰ βροντήσῃ, αὐξηθήσεται μὲν τὰ θηρία, λιμώξει δὲ ὅμως.

κζ΄. εἰ βροντήσῃ, ἐπομβρίαν δηλοῖ.

κη΄. εἰ βροντήσῃ, ἔνδεια ἔσται τῶν ἀναγκαίων.

318 κθ΄. εἰ βροντήσῃ, ἐπίνοσος ὁ ἐνιαυτός.

λ΄. εἰ βροντήσῃ, οὐκ εὐθηνίαν μόνον ἀλλὰ καὶ B ἐλάττωσιν τῶν πολεμίων καὶ εὐφροσύνην τοῖς πράγμασι δηλοῖ.

ΝΟΕΜΒΡΙΟΣ

32. α΄. Εἰ βροντήσῃ, διχόνοιαν δηλοῖ τῇ πόλει.

β΄. εἰ βροντήσῃ, εὐθηνίαν προλέγει.

γ΄. εἰ βροντήσῃ, πράγματα ἀναφύεται, δι᾽ ὧν C οἱ ἐλάττους περιέσονται τῶν μειζόνων.

δ΄. εἰ βροντήσῃ, κρείττων ὁ σῖτος.

ε΄. εἰ βροντήσῃ, ζάλην τοῖς πράγμασι δηλοῖ, αἰσθητοῖς τε καὶ ἀλόγοις νόσον.

ς΄. εἰ βροντήσῃ, σκώληκες τῷ σίτῳ λυμανοῦνται.

ζ΄. εἰ βροντήσῃ, τοῖς ὑπὸ τὴν δύσιν ἀνθρώποις D τε καὶ ἀλόγοις νόσοι.

v. 2 ὁ δῆμος τῶν κρατούντων ἐκ διχονοίας περιέσεται *P* || v. 5 εὐξυνθήσεται *P*, εὖ ξυνθήσεται coni. Rutgers || v. 7 ἐπομβρίαν etiam *P* || v. 8 ἔνδειαν τῶν *P* || v. 10 εὐθηνίαν, ἐλάττωσιν τῶν πολεμίων, εὐφροσύνην *P* || v. 13 μηνὶ νοεμβρίῳ rubr. *P* || v. 14 εἰ βροντήσῃ] abhinc semper om. sed hab. v. 18 *P* || v. 16 δι᾽ ὧν corr. Bekker pro δι᾽ οὗ || v. 19 δηλοῖ, αἰσθητοῖς τε] om. *P* || v. 20 δὲ pro τε coni. Bekker || v. 21 τὸν σῖτον *P* || λοιμήνονται *C* || v. 23 τε om. *P* ||

η'. εἰ βροντήσῃ, ἀδδηφαγίας ἔσεσθαι δεῖ διὰ νόσους ἀπειλουμένας.

126A θ'. εἰ βροντήσῃ, δημοτῶν ἀνασκολοπισμοὶ ἔσονται, ἀλλὰ μὴν καὶ ἀφθονία τῶν ἐπιτηδείων.

ι'. εἰ βροντήσῃ, πέρας ἔχει τὰ κακῶς βουλευθέντα τοῖς κρατοῦσιν, ἄνεμος δὲ καυσώδης τοῖς δένδροις λυμαίνεται.

ια'. εἰ βροντήσῃ, εὐχαριστείτωσαν ἄνθρωποι τῷ
B θεῷ· ἄνεμος γὰρ ἐξ ἀνατολῶν ῥεύσει.

ιβ'. εἰ βροντήσῃ, ἐνύπνια τοῖς ἀνθρώποις πλείονα δόξει.

ιγ'. εἰ βροντήσῃ, ἐπικερδῆ μὲν τὸν καιρὸν λοι- 319
μικὸν δὲ ἀπειλεῖ, ἕλμισι δὲ ἐντοσθίοις κακοῖ τὰ σώματα.

ιδ'. εἰ βροντήσῃ, ἑρπετὰ τοῖς ἀνθρώποις ἠρέμα πως λυμαίνεται.

C ιε'. εἰ βροντήσῃ, ὁ μὲν ἰχθὺς ἀφθονώτατος, λοιμώξει δὲ τὰ ἔνυδρα θηρία, καὶ τὰ κοινὰ δῆθεν καλλίονα.

ις'. εἰ βροντήσῃ, ἀκρίδες καὶ μυῶν ἀρουραίων γένεσις, τῷ δὲ βασιλεῖ κίνδυνος, καὶ σίτου ἀφθονία ἔσται.

ιζ'. εἰ βροντήσῃ, νομὴν ἄφθονον τοῖς κτήνεσι δηλοῖ.

ιη'. εἰ βροντήσῃ, πόλεμον δηλοῖ καὶ τοῖς ἀστειοτέροις λύπας.

v. 1 pro ἔσεσθαι H. proposuit εἴργεσθαι, ἔχεσθαι, ἀπέχεσθαι || v. 6 κρατοῦσι καὶ ἄνεμος *P* || v. 7 λυμήνεται *C* || v. 8 εὐχαριστήτωσαν *P* || v. 13 ἕλμιξι *P* || κάκοι (sic!) *P* || v. 16 λυμήνεται *C* || v. 17 λιμώξει *P* || v. 20 ἀκρίδων καὶ μυιῶν *P* || v. 21 τῶν δὲ βασιλέων *P* || καὶ σίτου] σίτου δὲ *P* || v. 23 τομὴν *P* (sed τ rubre) ||

ιθ΄. εἰ βροντήσῃ, γυναικῶν εὐπραγίας. D

κ΄. εἰ βροντήσῃ, λιμὸν ἀλλ' οὐκ εἰς μακρὰν δηλοῖ.

κα΄. εἰ βροντήσῃ, οἱ μύες φθαρήσονται, εὐθηνία 128 A δὲ οὐ σίτου μόνον ἀλλὰ καὶ νομῆς, καὶ ἰχθύων πλῆθος.

κβ΄. εἰ βροντήσῃ, εὐετηρίαν δηλοῖ.

κγ΄. εἰ βροντήσῃ, ἄνεμος νοσώδης πνεύσει.

κδ΄. εἰ βροντήσῃ, φρούριον τῇ πολιτείᾳ χρηστὸν ὑπὸ πολεμίοις τελέσει.

κε΄. εἰ βροντήσῃ, πόλεμος ἐπικίνδυνος ἔσται· καὶ ἄνεμος νοσώδης πνεύσει.

κς΄. εἰ βροντήσῃ, πόλεμον ἐμφύλιον καὶ πτῶσιν B πολλῶν δηλοῖ· ὄμβροι τε ἔσονται λοιμώδεις.

κζ΄. εἰ βροντήσῃ, τὰ αὐτὰ ἀπειλεῖ.

κη΄. εἰ βροντήσῃ, τῆς συγκλήτου πολλοὶ ἀθυμίᾳ φθαρήσονται.

320 κθ΄. εἰ βροντήσῃ, οἱ μὲν χείρους κάλλιον πράξουσιν, αἱ δὲ ἐσόμεναι ὀπῶραι φθαρήσονται.

λ΄. εἰ βροντήσῃ, θεοφιλέστερον οἱ ἄνθρωποι ζήσονται· καὶ εἰκότως σύμμετρα τὰ κακά. C

ΔΕΚΕΜΒΡΙΟΣ

33. α΄. Εἰ βροντήσῃ, εὐετηρίαν μεθ' ὁμονοίας δηλοῖ.

v. 2—6 ad κ΄ et κα΄ *P* transponit, quae ad κγ΄ et κδ΄ leguntur, ad κβ΄, κγ΄, κδ΄, quae ad κ΄, κα΄, κβ΄. || v. 2 ἀλλ' οὐκ εἰς μακρὰν] scripsi ex *P*, οὐ μακρὸν *C* || v. 3 μυῖες *P* || εὐθηνία σίτου, πλῆθος ἰχθύων *P* || v. 8 πολεμίοις etiam *P* || v. 10 καὶ ἄνεμος — πνεύσει] sic scripsi; ἄνεμον νοσώδη ποιήσει *P*, om. haec *C* || v. 12 ὄμβροι τε ἔσονται λοιμώδεις] addidi ex *P* || v. 17 ἐσόμεναι] ἐλπιζόμεναι coni. H. || v. 19 καὶ εἰκότως σύμμετρα scripsi ex coniectura Hasii pro εἰκότως συμμέτρια || v. 20 μηνὶ δεκεμβρίῳ rubr. *P* ||

β'. εἰ βροντήσῃ, ἀφθονία ἰχθύων καὶ καρπῶν διαφερόντως.

γ'. εἰ βροντήσῃ, τοῖς θρέμμασιν ἄνθρωποι καταχρήσονται δι' ἔνδειαν ἰχθύων.

D δ'. εἰ βροντήσῃ, βαρὺς ἔσται χειμών, εὐθηνία δὲ ὅμως.

ε'. εἰ βροντήσῃ, νόσους ψωρώδεις ἀπειλεῖ.

ς'. εἰ βροντήσῃ, θείους ὀνείρους οἱ ἄνθρωποι
130 A ἐνυπνιασθήσονται, οἳ κακὸν πέρας ἕξουσιν.

ζ'. εἰ βροντήσῃ, τὸ αὐτὸ δηλοῖ πᾶσιν.

η'. εἰ βροντήσῃ, νότος ἐπικρατήσει· ἐξ οὗ εὐθηνία μὲν καρπῶν ἔσται, ὄλεθρος δὲ θρεμμάτων.

θ'. εἰ βροντήσῃ, κλεινοῦ ἀνδρὸς πτῶσις ἔσται.

B ι'. εἰ βροντήσῃ, φθορὰν ἀνθρώποις ἐκ νοσημάτων ἀπειλεῖ, οἱ δὲ ἰχθύες ἐπιδώσουσιν.

ια'. εἰ βροντήσῃ, καυσώδης ἡ θερινὴ ἔσται τροπή, καὶ ἀφθονία ἐπείσακτος.

ιβ'. εἰ βροντήσῃ, ἐκ γαστρορροίας νόσους ἀπειλεῖ.

ιγ'. εἰ βροντήσῃ, εὐθηνίαν, νόσους δὲ ἀπειλεῖ. 321

C ιδ'. εἰ βροντήσῃ, ἐμφύλιον ἅμα πόλεμον καὶ εὐθηνίαν δηλοῖ.

ιε'. εἰ βροντήσῃ, πολλοὶ ἐπὶ πόλεμον πορεύσονται, ὀλίγοι δὲ ἀναστρέψουσιν.

ις'. εἰ βροντήσῃ, καινοπρεπῆ πράγματα ἐπὶ τῆς πολιτείας.

ιζ'. εἰ βροντήσῃ, ἀκρίδας φύσεσθαι λεπτὰς ἀπειλεῖ, εὐθηνίαν δὲ ὅμως.

v. 1 ἀφθονίαν *P* ‖ v. 7 ψωρώδεις corr. Hercher pro ψωριώδεις ‖ ἀπειλεῖ] δηλοῖ *P* ‖ v. 8 θείους ὀνείρους corr. Hercher pro ὁσίοις ὀνείροις ‖ v. 10 πεῦσιν *P* ‖ v. 11 νότος ἐπικρατήσει] scripsi ex *P*, νόσος ἐπικρατής *C* ‖ v. 15 δὲ om. *P* ‖ v. 19 εὐθηνία *P* ‖ v. 26 φύσεσθαι *C* ‖

ιη'. εἰ βροντήσῃ, πόλεμος ἔσται βαρύς.

ιθ'. εἰ βροντήσῃ, ἐπίτασιν τοῦ πολέμου ἀπειλεῖ. D

κ'. εἰ βροντήσῃ, ἔνδειαν τῶν ἀναγκαίων λέγει.

κα'. εἰ βροντήσῃ, ἄνεμον θερμὸν καὶ νοσοποιὸν 132 A ῥεῦσαι ἀπειλεῖ.

κβ'. εἰ βροντήσῃ, καυσῶδες ἔσται τὸ θέρος καὶ πολύκαρπον.

κγ'. εἰ βροντήσῃ, ἀνθρώποις νόσον δηλοῖ, ἀλλ' ἀκίνδυνον.

κδ'. εἰ βροντήσῃ, ἐμφυλίους πολέμους τῇ πόλει καὶ ὄλεθρον τοῖς ὑλαίοις θηρίοις ἀπειλεῖ. B

κε'. εἰ βροντήσῃ, ἐκστρατείας κίνησις ἐπὶ πόλεμον, ἀλλ' εὐτυχήσει.

κς'. εἰ βροντήσῃ, νόσους τοῖς θεράπουσιν ἀπειλεῖ.

κζ'. εἰ βροντήσῃ, ὁ βασιλεὺς πολλοὺς ὠφελήσει.

κη'. εἰ βροντήσῃ, ἀκρίδων γένεσις.

κθ'. εἰ βροντήσῃ, ἰσχνότητα τοῖς σώμασιν ὑγιει- C νὴν δηλοῖ.

λ'. εἰ βροντήσῃ, ἀνταρσίαν κατὰ τῆς βασιλείας δηλοῖ καὶ εἰκότως πόλεμον.

322 ## ΙΑΝΟΥΑΡΙΟΣ

34. α'. Εἰ βροντήσῃ, ἐλαφρὸς ἄνεμος ῥεύσει, ἀλλ' ἀκίνδυνος.

β'. εἰ βροντήσῃ, ἀδόκητος ἔσται πόλεμος. D

γ'. εἰ βροντήσῃ, μετὰ νίκην ἧτταν τοῖς ἐν πολέμῳ φράζει· εὐθηνία δὲ ἔσται.

δ'. εἰ βροντήσῃ, ὁμονοήσει ὁ δῆμος πρὸς εἰρήνην. 134 A

v. 10 ἐμφύλιον πόλεμον *P* ‖ v. 11 τῶν ὑλαίων θηρίων *P* ‖ v. 13 εὐτυχῆς *P* ‖ v. 17 ἰσχυότητα *C* ‖ ὑγιεινὴν etiam *P* ‖ v. 21 μηνὶ Ἰανουαρίῳ rubr. *P* ‖ v. 22 ἄνεμος] κίνδυνος *P* ‖ v. 27 ὁ om. *P* ‖

ε΄. εἰ βροντήσῃ, ὑγίειαν τοῖς κτήνεσι σημαίνει.

ϛ΄. εἰ βροντήσῃ, βηχώδη νόσον ἀπειλεῖ, ἀφθονίαν δὲ ἰχθύων καὶ καρπῶν δηλοῖ.

B ζ΄. εἰ βροντήσῃ, δουλομαχία ἔσται καὶ νόσος συχνή.

η΄. εἰ βροντήσῃ, ὁ δυνάστης τῆς πολιτείας πρὸς τοῦ δήμου κινδυνεύσει.

θ΄. εἰ βροντήσῃ, ὁ τῆς ἀνατολῆς βασιλεὺς κινδυνεύσει.

ι΄. εἰ βροντήσῃ, ἀνέμου κίνησιν σφοδρὰν καὶ σίτου μὲν εὐφορίαν τῶν δ' ἄλλων καρπῶν ἀφορίαν δηλοῖ.

ια΄. εἰ βροντήσῃ, λιμὸν σημαίνει καὶ μέχρις
C ἀλόγων.

ιβ΄. εἰ βροντήσῃ, οἱ ἄνθρωποι τὰς ὄψεις νοσήσουσιν, ἔσται δὲ πολὺς χόρτος καὶ ἰχθύων ἐπίδοσις.

ιγ΄. εἰ βροντήσῃ, νόσους ἀπειλεῖ.

ιδ΄. εἰ βροντήσῃ, σπάνιν καὶ μυῶν γένεσιν καὶ ὄλεθρον τετραπόδων ἀπειλεῖ.

D ιε΄. εἰ βροντήσῃ, στάσιν δουλικὴν καὶ τιμωρίαν αὐτοῖς καὶ εὐθηνίαν καρπῶν.

ιϛ΄. εἰ βροντήσῃ, ὁ δῆμος ὑπὸ τοῦ βασιλέως ταραχθήσεται.

136 A ιζ΄. εἰ βροντήσῃ, νόσους ἀκινδύνους ἀπειλεῖ. 323

ιη΄. εἰ βροντήσῃ, πράγματα ἐκδειματοῦντα τὸν δῆμον ἀναστήσεται.

ιθ΄. εἰ βροντήσῃ, καὶ ὁ βασιλεὺς νικήσει καὶ ὁ δῆμος τὴν κρείττονα ἕξει τάξιν.

v. 2 ἀφθονίαν etiam *P* || v. 5 ὁ om. *P* || v. 7—11 ad θ΄ refert *P*, quod ad ι΄ legitur et vice versa || v. 9 καὶ om. *P* || v. 10 δηλοῖ om. *P* || v. 14 καὶ om. *P* || v. 15 εἰ βροντήσῃ] hic add. *P* || v. 16 μυιῶν *P* || v. 20 ὁ om. *P* || v. 22 ἀπειλεῖ] δηλοῖ *P* || v. 24 ἀναστήσεται corr. Hercher pro ἀναστήσονται || v. 25 καὶ ante ὁ βασιλεὺς om. *P* || v. 26 τάξιν ἕξει *C* ||

κ΄. εἰ βροντήσῃ, εὐθηνία μὲν ἐπείσακτος ἔσται, βηχώδης δὲ νόσος ἐνοχλήσει τοῖς σώμασιν. B

κα΄. εἰ βροντήσῃ, ὁ βασιλεὺς πολλοῖς ἐπιβουλεύσας τέλος ἐπιβουλεύεται.

κβ΄. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, μυῶν δὲ καὶ ἐλάφων πλῆθος.

κγ΄. εἰ βροντήσῃ, εὐταξίαν τῇ πόλει δηλοῖ.

κδ΄. εἰ βροντήσῃ, νόσον μετὰ ἐνδείας δηλοῖ. C

κε΄. εἰ βροντήσῃ, δουλομαχία ἔσται.

κϛ΄. εἰ βροντήσῃ, πολλοὶ πρὸς τοῦ κρατοῦντος ἀναιρεθήσονται, τέλος δὲ καὶ αὐτός.

κζ΄. εἰ βροντήσῃ, νόσους ἀκινδύνους δηλοῖ.

κη΄. εἰ βροντήσῃ, οἱ μὲν ἐνάλιοι ἰχθύες ἐπιδώσουσι, τὰ δὲ θρέμματα φθαρήσεται. D

κθ΄. εἰ βροντήσῃ, λοιμικὸν καὶ νοσῶδες ἐπὶ πᾶσι τὸ τοῦ ἀέρος κατάστημα.

λ΄. εἰ βροντήσῃ, θάνατον συχνὸν ἀπειλεῖ.

324 ΦΕΒΡΟΥΑΡΙΟΣ 138 A

35. α΄. Εἰ βροντήσῃ, πόλεμον καὶ πτῶσιν ἀνδρῶν εὐπόρων ἀπειλεῖ.

β΄. εἰ βροντήσῃ, ὁ μὲν σῖτος ἐλάττων, ἡ δὲ κριθὴ κρείττων, καὶ θηρίων μὲν αὔξησις, φθίσις δὲ ἀνθρώπων ἔσται.

γ΄. εἰ βροντήσῃ, ἐμφύλιος ἔσται στάσις.

v. 1 εὐθηνία ἐπείσακτος, βηχώδης νόσος τοῖς σώμασιν *P* || v. 3 ἐπιβουλεύσας] βασιλεύσας *P* || v. 5 μυιῶν *P* || v. 6 πληθύς *P* || v. 11 post αὐτός Rutgers ἕξει vel tale quid addi iubet; debuit certe ἀναιρεθήσεται. || v. 14 φθαρήσεται corr. H., φθαρήεται *C*, φθαρήσονται *P* || v. 18 μηνὶ φεβρουαρίῳ *P* rubr. || v. 22 καὶ et μὲν et δὲ om. *P* || v. 23 ἔσται om. *P* || v. 24 στάσις ἔσται *P* ||

δ΄. εἰ βροντήϲῃ, οἱ ἄνθρωποι οὐ προϲώποιϲ μόνον ἀλλὰ καὶ διανοίαιϲ αὐταῖϲ ταραχθήϲονται.

B ε΄. εἰ βροντήϲῃ, ἄμητοϲ πολὺϲ καὶ ἀνθρώπων ἀπώλεια ἔϲται.

ϛ΄. εἰ βροντήϲῃ, φθορὰ τῶν ξηρῶν καρπῶν, καὶ διαφερόντωϲ τῶν κριθῶν.

ζ΄. εἰ βροντήϲῃ, φθορὰν οὐκ εἰϲ μακρὰν ἀνθρώποιϲ ἀπειλεῖ.

η΄. εἰ βροντήϲῃ, πρᾶγμα μέγιϲτον ἀναφυήϲεται τῇ πολιτείᾳ, καὶ οἱ μὲν ἰχθύεϲ ἐπιδώϲουϲι, τὰ δὲ θηρία φθαρήϲεται.

C θ΄. εἰ βροντήϲῃ, ἐλάττων ἡ κριθή.

ι΄. εἰ βροντήϲῃ, τὰ θηρία τοῖϲ ἀνθρώποιϲ λυμανεῖται.

ια΄. εἰ βροντήϲῃ, εὐτοκία γυναικῶν.

ιβ΄. εἰ βροντήϲῃ, θάνατον ϲυχνὸν ἀπειλεῖ καὶ ἀνέμουϲ ἀήθειϲ.

ιγ΄. εἰ βροντήϲῃ, εὐθηνία μὲν ἔϲται, ϲτάϲιϲ δὲ ὅμωϲ πολιτική.

140A ιδ΄. εἰ βροντήϲῃ, ἀποβολὴν τέκνων καὶ ἔφοδον ἑρπετῶν ἐπιβλαβῆ ἀπειλεῖ.

ιε΄. εἰ βροντήϲῃ, λοιμικὸϲ ἀὴρ ἔϲται, θηρίων τε 325
καὶ μυῶν γένεϲιϲ.

ιϛ΄. εἰ βροντήϲῃ, τῷ μὲν δήμῳ αἴϲιον, τῶν δὲ δυνατῶν ἐκ διχονοίαϲ κακόν.

ιζ΄. εἰ βροντήϲῃ, θέροϲ ἔϲται ἀφθονώτατον.

v. 1 οἱ om. *P* ‖ v. 4 ἔϲται om. *P* ‖ v. 5 καὶ om. *P* ‖ v. 9 γέγιϲτον *P* ‖ ἀναφύϲεται coni. H. coll. p. 146 *A* ‖ v. 11 φαρήϲεται *P* ‖ v. 13 λοιμανεῖται *C* ‖ v. 20 καὶ om. *P* ‖ v. 21 ἀπειλὴν *C* ‖ v. 22 ἔϲται om. *P* ‖ θηρίων καὶ μυιῶν *P* ‖ v. 24 αἴϲιοϲ *P* ‖ v. 26 ἀέροϲ *P* (sed ἀ rubr.) ‖

ιη΄. εἰ βροντήσῃ, ἄνεμον βαρὺν καὶ φλυκτίδων B ἀνάστημα τοῖς σώμασιν ἀπειλεῖ.

ιθ΄. εἰ βροντήσῃ, ἑρπετῶν καὶ ἑλμίνθων πρὸς αὐτοῖς ὄχλος ἔσται.

κ΄. εἰ βροντήσῃ, καλοὺς ἀέρας δηλοῖ.

κα΄. εἰ βροντήσῃ, εὐθηνίαν δηλοῖ.

κβ΄. εἰ βροντήσῃ, ἐπίνοσος ὁ ἀὴρ ἀλλ᾽ οὐ φθαρτικὸς ἔσται.

κγ΄. εἰ βροντήσῃ, ἀνθρώποις μὲν δυσμορφίαν, C ὀρνέοις δὲ φθορὰν ἀπειλεῖ.|

κδ΄. εἰ βροντήσῃ, ὑγίειαν μὲν ἀνθρώποις, ἰχθύσι δὲ καὶ ἑρπετοῖς ὄλεθρον ἀπειλεῖ.

κε΄. εἰ βροντήσῃ, τοῖς τρυφῶσιν ἐναντίον· πόλεμοι γὰρ ἔσονται, καὶ ζάλη βαρεῖα.

κϛ΄. εἰ βροντήσῃ, αὐχμὸν καὶ λειψυδρίαν καὶ D ψώρωσιν τοῖς σώμασιν ἀπειλεῖ.

κζ΄. εἰ βροντήσῃ, στάσιν τῷ δήμῳ δηλοῖ.

κη΄. εἰ βροντήσῃ, εὐθηνίαν μέν, ἄνεμον δὲ νο- 142 A σοποιὸν ῥεῦσαι μαντεύεται.

κθ΄. εἰ βροντήσῃ, πόλεμον καὶ εὐθηνίαν δηλοῖ.

326 λ΄. εἰ βροντήσῃ, ἀγαθὰ σημαίνει μετὰ μακρᾶς τινος τοῦ δήμου διχοστασίας.

ΜΑΡΤΙΟΣ

36. α΄. Εἰ βροντήσῃ, ἅπαν τὸ ἔτος ἀψιμαχίαι καὶ B διχόνοιαι ἔσονται.

v. 1 φλυκτήνων *C*, φλυκταινῶν coni. H. ‖ v. 3 καὶ om. *C* ‖ πρὸς αὐτοῖς] om. *P* ‖ v. 6 εὐθηνίαν etiam *P* ‖ v. 11 ὑγείαν *P* ‖ v. 15 αὐχμόν, λιψυδρίαν, ψωρίωσιν τοῖς σώμασιν (om. ἀπειλεῖ) *P* ‖ v. 20 πόλεμον, εὐθηνίαν (om. δηλοῖ) *P* ‖ v. 21 μικρᾶς coni. Bekker ‖ v. 23 μηνὶ μαρτίῳ rubr. *P* |

β'. εἰ βροντήςῃ, παύςει τὰ προαπειλούμενα.

γ'. εἰ βροντήςῃ, κακοδαιμονία μετὰ ἐνδείας τοῖς πράγμαςιν.

δ'. εἰ βροντήςῃ, εὐθηνία ἀφθονωτάτη ἔςται.

ε'. εἰ βροντήςῃ, εὐήλιον τὸ ἔαρ καὶ εὔκαρπον τὸ θέρος ἔςται.

C ς'. εἰ βροντήςῃ, ὅμοια τοῖς πρὸ ταύτης.

ζ'. εἰ βροντήςῃ, ἄνεμος βαρὺς ἀναςτήςεται, ὁ δὲ κρατῶν τὰ πράγματα κινήςει.

η'. εἰ βροντήςῃ, βροχὰς σημαίνει.

θ'. εἰ βροντήςῃ, φθορὰν μὲν ἀνθρώπων γένεςιν δὲ θηρίων ἀπειλεῖ.

ι'. εἰ βροντήςῃ, φθορὰ τοῖς τετραπόδοις.

D ια'. εἰ βροντήςῃ, κατομβρίαν καὶ ἀκρίδων γένεςιν δηλοῖ.

144 A ιβ'. εἰ βροντήςῃ, δυνατὸς τοῦ πολιτεύματος ἢ στρατηγὸς κινδυνεύςει, διὸ μάχαι συρραγήςονται, καὶ τὰ θηρία τοῖς ἀνθρώποις ἐπέλθῃ.

ιγ'. εἰ βροντήςῃ, εὐθηνία ἔςται, τὰ δὲ θηρία φθαρήςεται, καὶ οἱ ἰχθύες ἐπιδώςουςι· καὶ ἑρπετὰ τοῖς οἰκήμαςιν ἐνοχλήςει, οὐ μὴν βλάψει.

ιδ'. εἰ βροντήςῃ, εὐθηνίαν μὲν σημαίνει, θάνα- 327
B τον δὲ ἀνθρώπων καὶ γένεςιν θηρίων ἀπειλεῖ.

ιε'. εἰ βροντήςῃ, καύματα σημαίνει καὶ λειψυδρίαν καὶ μυῶν ὄχλον καὶ ἰχθύων πολύν.

v. 1 παύςεται coni. Hercher pro παύςει || v. 5 εὔκαρπον etiam *P* || v. 8 στήςεται *C* || ὁ δὲ τῶν πραγμάτων κρατῶν ἀποκινηθήςεται *P* || v. 10 βροχὴν *P* || v. 13 φθορὰν *P* || v. 14 κατομβρία· ἀκρίδων γένεςις *P* || v. 18 ἐπέλθει *P* || v. 19 δὲ om. *P* || v. 20 καὶ ante οἱ om. *P* || καὶ ante ἑρπετὰ om. *P* || v. 24 καύματα, λιψυδρίαν, μυιῶν καὶ ἰχθύων ὄχλον *P* || v. 25 μυῶν corr. H. pro μυιῶν ||

ις'. εἰ βροντήσῃ, ὑγιεινὸν μὲν τὸ ἔτος, ἀλλ' ἐνδεὲς τῶν ἐπιτηδείων.

ιζ'. εἰ βροντήσῃ, πρᾶγμα παράδοξον τῷ δήμῳ συμβήσεται, συχνὴ δὲ φθορὰ ἀνθρώποις τε καὶ θηρίοις τετράποσιν.

ιη'. εἰ βροντήσῃ, κατομβρίαν καὶ νόσον καὶ ἀκρί- C
δων γένεσιν καὶ ἐγγὺς ἀκαρπίαν δηλοῖ.

ιθ'. εἰ βροντήσῃ, αὐχμὸς ξηρότατος καὶ φθοροποιός.

κ'. εἰ βροντήσῃ, εὐπορώτερον οἱ ἄνθρωποι ἅμα καὶ ἀφθονώτερον ζήσονται.

κα'. εἰ βροντήσῃ, εὐθηνίαν μετὰ πολέμους καὶ φθορώδεις αὐχμοὺς δηλοῖ.

κβ'. εἰ βροντήσῃ, φθορὰν μὲν ὀρνέων, ἐπίδοσιν D
δὲ τῶν ἐπιτηδείων.

κγ'. εἰ βροντήσῃ, στάσεις δηλοῖ.

κδ'. εἰ βροντήσῃ, εὐθηνίαν σημαίνει. 146 A

κε'. εἰ βροντήσῃ, καινὰ πράγματα τῷ δήμῳ ἀναφύεται.

κς'. εἰ βροντήσῃ, κτῆσιν ἐπεισάκτων ἀνδραπόδων δηλοῖ.

κζ'. εἰ βροντήσῃ, ἐπείσακτον εὐθηνίαν δηλοῖ.

κη'. εἰ βροντήσῃ, ἀφθονία ἰχθύων θαλαττίων ἔσται.

κθ'. εἰ βροντήσῃ, αἱ γυναῖκες τῆς κρείττονος B
δόξης ἀνθέξονται.

328 λ'. εἰ βροντήσῃ, δυνατός τις τῆς βασιλείας ἐγκρατὴς ἔσται, δι' οὗ εὐφροσύνη.

v. 1 ἐνδεὲς etiam *P* || v. 3 δήμῳ om. *P* || v. 4 τε om. *P* || v. 6 καὶ utrumque om. *P* || v. 10 εὐπορώτερον corr. Hercher pro εὐτροπώτερον || v. 12 εὐθηνίαν etiam *P* || πολέμου *P* || v. 20 ἐπεισάκτων corr. Hercher pro ἐπείσακτον || v. 23 ἔσται om. *P* || v. 25 ἀνθέξονται etiam *P* ||

ΑΠΡΙΛΙΟΣ

37. α΄. Εἰ βροντήσῃ, ἐμφύλιον στάσιν καὶ ἀπο- C πτώσεις οὐσιῶν ἀπειλεῖ.

β΄. εἰ βροντήσῃ, δίκης σημεῖον, ἐσθλοῖς ἐσθλὰ φερούσης καὶ φαύλοις φαῦλα.

γ΄. εἰ βροντήσῃ, κέρδη ἐξ ἐπεισάκτου εὐθηνίας δηλοῖ.

δ΄. εἰ βροντήσῃ, ὀργὴν τῶν κρειττόνων ἀπειλεῖ τοῖς ἀξίοις.

ε΄. εἰ βροντήσῃ, αὐχμὸν μὲν τῷ ἦρι, ὑγιεινὸν δὲ τὸν ἐνιαυτὸν σημαίνει.

D ϛ΄. εἰ βροντήσῃ, πόλεμοι ἐμφύλιοι ἀναστήσονται.

ζ΄. εἰ βροντήσῃ, ἀγαθὰ πάντα καὶ ἄφθονον εὐετηρίαν δηλοῖ.

148 A η΄. εἰ βροντήσῃ, κατομβρίαν δηλοῖ ἐπίνοσον.

θ΄. εἰ βροντήσῃ, νίκην τῇ βασιλείᾳ δηλοῖ καὶ τοῖς δυνατοῖς εὐφροσύνην.

ι΄. εἰ βροντήσῃ, ἀνδρῶν ἀγαθῶν προκοπαὶ ἔσονται.

ια΄. εἰ βροντήσῃ, τὰ αὐτὰ σημαίνει.

B ιβ΄. εἰ βροντήσῃ, βροχὰς καὶ εὐθηνίας καὶ φθορὰν ἰχθύων δηλοῖ.

ιγ΄. εἰ βροντήσῃ, ἀνθρώποις καὶ κτήνεσι φθορὰν ἀπειλεῖ.

ιδ΄. εἰ βροντήσῃ, ὑγίειαν καὶ εὐθηνίαν δηλοῖ.

ιε΄. εἰ βροντήσῃ, λοιμὸν σημαίνει.

ιϛ΄. εἰ βροντήσῃ, εὐθηνίαν μέν, μυῶν δὲ ἀρου- 329 ραίων γένεσιν δηλοῖ.

v. 1 μηνὶ ἀπριλλίῳ rubr. *P* || v. 5 φερούσης corr. H. pro φέρουσα || v. 10 τὸ ἔαρ *P* || v. 13 φθόνου *C* || v. 16 δίκην (δ rubr.) *P* || τῇ βασιλείᾳ etiam *P* || v. 24 ὑγείαν *P* || εὐθηνίαν etiam *P* || v. 26 εὐθηνίαν etiam *P* || μυιῶν *P* ||

ιζ΄. εἰ βροντήcῃ, ἀφθονίαν τῶν ἐπιτηδείων cημαίνει. C

ιη΄. εἰ βροντήcῃ, διχόνοιαν καὶ ἀνδρῶν ἀcτοχίαν cημαίνει.

ιθ΄. εἰ βροντήcῃ, δυνατὸc ἀνὴρ τῆc πολιτείαc οὐcίαc ἅμα καὶ δόξηc ἀφαιρεθήcεται.

κ΄. εἰ βροντήcῃ, θεοχολωcίαν cημαίνει.

κα΄. εἰ βροντήcῃ, τοῖc μὲν καρποῖc δεξιόν, τῇ δὲ πολιτείᾳ πόλεμον cημαίνει. D

κβ΄. εἰ βροντήcῃ, φθορὰ τῶν μυῶν ἔcται.

κγ΄. εἰ βροντήcῃ, βροχὴν ὠφέλιμον τοῖc cπορίμοιc δηλοῖ. 150 A

κδ΄. εἰ βροντήcῃ, διχόνοια ἔcται τῶν δυνατῶν, τὰ δὲ cκέμματα αὐτῶν ἀναφανήcεται.

κε΄. εἰ βροντήcῃ, εἰρήνη ἀνὰ πάντα τὸν ἐνιαυτόν.

κϛ΄. εἰ βροντήcῃ, ἐλπίδα καρπῶν μεγάλην καὶ ἀμήτων cπάνιν δηλοῖ.

κζ΄. εἰ βροντήcῃ, διοcημία παράδοξοc ὀφθήcεται. B

κη΄. εἰ βροντήcῃ, ὅπλοιc ὁ δῆμοc ἀναζώcεται.

κθ΄. εἰ βροντήcῃ, ἐπικρατήcει ὁ Ζέφυροc.

λ΄. εἰ βροντήcῃ, πραγμάτων καλῶν ἐπομβρία.

ΜΑΙΟϹ

38. α΄. Εἰ βροντήcῃ, φυγὴν τῷ δήμῳ καὶ ἀτιμίαν δηλοῖ. C

β΄. εἰ βροντήcῃ, λιμὸν ἀπειλεῖ.

v. 1 ἀφθονίαν etiam *P* ‖ v. 3 ἀcτοχίαν etiam *P* ‖ v. 8 δεξιὰν *C* ‖ v. 10 μυῶν] sic *P*, μυιῶν *C* ‖ v. 14 ἀναφανήcονται *P* ‖ v. 15 εἰρήνη] sic corr. H., εἰρήνην *P*, om. *C* ‖ v. 16 μεγάλων *P* ‖ v. 17 ἀμήτων etiam *P* ‖ v. 18 διοcημία corr. Hercher pro διοcημεῖα ‖ παραδόξωc *C* ‖ v. 21 πράγματα κακά· ἐπομβρία *P* ‖ v. 22 μηνὶ μαΐω rubr. *P* ‖ v. 23 αὐγὴν (α rubr.) *P* ‖ ἀτιμίαν etiam *P* ‖

γ΄. εἰ βροντήσῃ, ἐπείσακτον εὐθηνίαν δηλοῖ.

δ΄. εἰ βροντήσῃ, εὔκρατος ἀήρ, καὶ οἱ καρποὶ εὔθηνοὶ ἔσονται.

ε΄. εἰ βροντήσῃ, ἐναλλαγὴ τῶν λυπηρῶν τοῖς D πράγμασιν ἔσται, καὶ πλείων ὁ σῖτος ἤπερ ἡ κριθή· τὰ δὲ ὄσπρια φθαρήσεται.

ϛ΄. εἰ βροντήσῃ, θᾶττον ἀκμάσαι τοὺς καρποὺς καὶ φθαρῆναι δηλοῖ.

152A ζ΄. εἰ βροντήσῃ, ὀρνέων καὶ ἰχθύων ἀφθονία ἔσται.

η΄. εἰ βροντήσῃ, ἀπαίσιον τῷ δήμῳ.

θ΄. εἰ βροντήσῃ, λοιμὸν σημαίνει, ἀλλὰ μετρίως ἐπικίνδυνον.

ι΄. εἰ βροντήσῃ, ταραχὰς κατομβρίας καὶ ὑπερχύσεις ποταμῶν ἐπιβλαβεῖς δηλοῖ, σαυρῶν τε καὶ ἑρπετῶν πλῆθος.

B ια΄. εἰ βροντήσῃ, εὐθηνίαν κατά τε τὴν γῆν κατά τε τὴν θάλασσαν ἐλπιστέον.

ιβ΄. εἰ βροντήσῃ, φθορὰ ἰχθύων ἔσται.

ιγ΄. εἰ βροντήσῃ, ἐπίδοσιν ποταμίων ὑδάτων δηλοῖ, νόσους δὲ τοῖς ἀνθρώποις.

ιδ΄. εἰ βροντήσῃ, ἀνατολικὸς ἔσται πόλεμος καὶ φθορὰ πολλή.

ιε΄. εἰ βροντήσῃ, εὐθηνίαν δηλοῖ.

C ιϛ΄. εἰ βροντήσῃ, εὔχεσθαι δεῖ διὰ τὰ ἀπειλούμενα.

ιζ΄. εἰ βροντήσῃ, ὑετὸν σημαίνει.

ιη΄. εἰ βροντήσῃ, στάσιν καὶ ἐξ αὐτῆς πόλεμον καὶ ἔνδειαν τῶν ἐπιτηδείων.

v. 4 ἐναλλαγὴ etiam *P* (ἐ rubr. corr. ex α) ‖ v. 11 ἀναίσιον *C* ‖ v. 14 ταραχαὶ *P* ‖ v. 15 δηλοῖ om. *P* ‖ v. 23 πολλῶν *P* ‖

ιθ΄. εἰ βροντήσῃ, εὐνοίᾳ τοῦ δήμου ἀνήρ τις εἰς ἄκρον εὐδαιμονίας ἀρθήσεται.

331 κ΄. εἰ βροντήσῃ, τοῖς μὲν περὶ τὴν ἀνατολὴν εὐθηνία, τοῖς δὲ ἐπὶ δύσιν οὐχ οὕτως. D

κα΄. εἰ βροντήσῃ, εὐχῶν δεῖ διὰ τὰ ἀπειλούμενα.

κβ΄. εἰ βροντήσῃ, κατομβρίαν καὶ φθορὰν τῶν θαλαττίων ἰχθύων σημαίνει. 154 A

κγ΄. εἰ βροντήσῃ, εὐομβρίαν καρποφόρον δηλοῖ.

κδ΄. εἰ βροντήσῃ, μεγάλα κακά, ὡς ἐξ ἀθυμίας λειποθυμῆσαι τοὺς ὑπηκόους.

κε΄. εἰ βροντήσῃ, ἀνάπαυλαν καὶ ὕφεσιν τῶν κακῶν ἐλπιστέον. B

κς΄. εἰ βροντήσῃ, καλὸν τοῖς περὶ γεωργίαν ἔχουσιν.

κζ΄. εἰ βροντήσῃ, διοσημία ἔσται καὶ κομήτης ἐξαφθήσεται.

κη΄. εἰ βροντήσῃ, ὡσαύτως ἔσται.

κθ΄. εἰ βροντήσῃ, πόλεμον ἀρκτῷον σημαίνει, ἀλλ᾿ ἀκίνδυνον τοῖς πράγμασιν.

λ΄. εἰ βροντήσῃ, τὰ φυτὰ τῷ ἀνέμῳ συντριβήσεται. C

Ταύτην τὴν ἐφήμερον βροντοσκοπίαν ὁ Νιγίδιος οὐ καθολικὴν ἀλλὰ μόνης εἶναι τῆς Ῥώμης ἔκρινεν.

v. 1 τις delet Hercher ‖ v. 5 εὐχῶν] εὔχεσθαι *P* ‖ v. 8 σημαίνει] δηλοῖ *P* ‖ v. 9 ἀνομβρίαν (ἀ rubr.) *P* ‖ καρποφθόρον coni. Rutgers ‖ v. 10 ἀτιμίας *P* ‖ v. 12 ὕφεσιν etiam *P* ‖ v. 16 διοσημία corr. Hercher pro διοσημεῖα ‖ διοσημία — ἐξαφθήσεται] *C* iterat id quod ad κς΄ legitur ‖ v. 21 τῷ ἀνέμῳ scripsi ex *P*, qui sic habet correct. ex τῶν ἀνέμων, *C* τῶν ἀνέμων ‖

156 # ΒΡΟΝΤΟϹΚΟΠΙΑ 332

ЄΚ ΤΩΝ ΦΟΝΤΗΙΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ

ΚΑΘ' ЄΡΜΗΝЄΙΑΝ ΠΡΟϹ ΛЄΞΙΝ

A 39. Ϲελήνηϲ ἐχούϲηϲ τὸν αἰγόκερων εἰ ἐν ἡμέρᾳ βροντὴ γένηται, τύραννον ἐπαναϲτήϲεϲθαι ἀπειλεῖ τοῖϲ ἀπὸ τῆϲ ϲτενῆϲ θαλάϲϲηϲ ἄχρι Νείλου χωρίοιϲ, ἐκπεϲεῖν δὲ ὅμωϲ αὐτὸν τῆϲ ἐγχειρήϲεωϲ. οὐχ ἥκιϲτα δὲ καὶ τῶν ἐπιτηδείων ἔϲται ἐλάττωϲιϲ. ὑπονοϲτήϲει δὲ καὶ ὁ Νεῖλοϲ, καὶ διχόνοια ἔϲται τέκνοιϲ πρὸϲ γονεῖϲ, καὶ ταραχαὶ τῶν ἀρχόντων ἐνίοιϲ. Πέρϲαι δὲ καὶ οἱ τῆϲ Εὐρώπηϲ τὸ δυτικὸν ἔχοντεϲ ἠρεμήϲουϲιν. εἰ δὲ νυκτόϲ, ἔθνη βάρβαρα
B κατ' ἀλλήλων ἐξενεχθήϲεται, καὶ δογμάτων ἕνεκα τὰ τῆϲ Ῥωμαϊκῆϲ εἰρήνηϲ ϲαλευθήϲεται, καὶ τόπουϲ δέ τιναϲ τοῦ πολιτεύματοϲ πολέμιοι πρὸϲ βραχὺ καθέξουϲιν. ἄρχοντεϲ ἐκ τῶν δυτικῶν ὁρμώμενοι ἡγήϲονται παρανόμωϲ τῶν κοινῶν. δυϲδαίμονεϲ δὲ ἔϲονται οἱ τῶν ἀνθρώπων πλείουϲ, καὶ χειμῶνεϲ πικροί, καὶ ναυάγια, καὶ ϲάλοι ϲφαλεροί.

Ϲελήνηϲ ὑδροχόῳ οὔϲηϲ εἰ ἐν ἡμέρᾳ βρον-
C τήϲῃ, κλεινῶν ἀνθρώπων καταλύϲειϲ ἐμπρηϲμούϲ τε βαρεῖϲ. καὶ ὁ μὲν ἄμητοϲ ἱλαρόϲ, ἀκρίϲι δὲ καὶ θη-

Fontei tonitruale reperitur etiam in *P* fol. 185 rect. et *R* fol. 70 vers., in *P* sequitur statim post cap. 26 omittiturque inscriptio generalis, quae hic v. 1—3 legitur, quam librarius iam supra (v. cap. 23) posuerat, sed inscribitur tantum περὶ βροντῶν ἀπὸ ϲελήνηϲ || v. 2 Φοντηίου corr. Schmitz in nov. mus. Rhen. XI p. 299 pro Φωντηίου || v. 4 ante ϲελήνηϲ *P* rubr. add. τῆϲ et sic semper || v. 8 καὶ τῶν] ἢ τῶν *C*, καὶ ἡ τῶν *P* || v. 16 δυτικῶν] ναυτικῶν *PR* || v. 20 οὔϲηϲ om. *P* ||

333 ρίοις ἐκδοθήσεται, ἡ δὲ σταφυλὴ σφηξί. καὶ τὸ πάντων σχετλιώτατον, φάσματα τοῖς σώμασιν ἐνοχλήσει μετὰ νόσων, καὶ τῶν ὑδάτων διαμαρτήσει τὸ νόστιμον. καὶ οἱ μὲν ἐλάττονες τὰς τύχας ἐπὶ τὸ βέλτιον 158 A ἀνασπασθήσονται, οἱ δὲ μείζους ἐπὶ τὸ χεῖρον ἐκπεσοῦνται. ἀμετρία τε τῶν νόμων τὴν εἰρήνην ταράξει, καὶ ἐθνικῶν ἔσται ἐπὶ τῆς πολιτείας πάροδος. εἰ δὲ νυκτὸς βροντήσῃ, ἀπολεγέτω μὲν τῇ εἰρήνῃ τὸ δυτικόν, ὁ δὲ ἄμητος τῆς Ἀσίας εὐκταιότατος, καὶ οἱ ἄρχοντες παρὰ τὸ κρατοῦν ἐν αὐτοῖς οὐ σφόδρα τοὺς ὑπηκόους λυπήσουσι.

Σελήνης ἰχθύσιν οὔσης ἐὰν βροντὴ ἐν ἡμέρᾳ γένηται, ὑδάτων ἐπίδοσιν δηλοῖ οὐ ποταμίων μόνον ἀλλὰ καὶ θαλαττίων, ἀχλύν τε τῷ ἀέρι, ἀλλὰ καὶ ἀφανισμὸν τοῖς ἰχθύσιν ἀπειλεῖ. τὰ δὲ θηρία πρὸς τὰς παγίδας αὐτομολήσει· φυτεύειν δ' ὅμως φυτὰ ἐπευκταῖον. καὶ νοσῶδες μὲν τὸ κατάστημα, οἱ δὲ ἄρχοντες ἀνωμάλως διακείσονται. εἰ δὲ νυκτὸς...... B

40. Σελήνης οὔσης κριῷ ἐὰν βροντὴ γένηται C ἐν ἡμέρᾳ, φυγὴν μὲν Ἀραβίοις, λοιμὸν δὲ Πέρσαις ἀπειλεῖ. εἰ δὲ νυκτί, Ἀσίαν καὶ Εὐρώπην ταράξουσι πολέμιοι, οἵ τε ναυτιλλόμενοι οὐκ ἔξω κινδύνων ἔσονται. καὶ ἀφθονία μὲν τῶν καρπῶν ἔσται, δυνατοῦ δὲ προσώπου πτῶσις· καὶ τὰ κοινὰ ἐγγὺς εὐθηνίας ἔσται.

v. 1 εὐδοθήσεται *C* || σφηξί corr. Hercher pro σφιγξί || v. 2 σχετλιώτατον corr. Hercher pro σχετλιώτερον coll. p. 94, 3 || v. 5 ἀνασπασθήσονται] ἁρπασθήσονται *PR* || v. 10 παρὰ] ἄρα *C* || v. 12 οὔσης om. *P* || εἰ ἐν ἡμέρᾳ βροντήσῃ *P* || v. 18 εἰ δὲ νυκτὸς] add. *P* et duorum versuum spatium relinquit; ceteri omitt. || v. 19 οὔσης — γένηται] ἐὰν βροντήσῃ *P* || v. 22 πόλεμον *P*, πόλεμοι *R* ||

Σελήνης οὔσης ταύρῳ εἰ ἐν ἡμέρᾳ βροντήσῃ, ἐπομβρίαν δηλοῖ καὶ χαλαζώδη τὸν ἀέρα, καὶ ποτα-
D μῶν προχεύματα. καὶ ὁ μὲν ἰχθὺς ἄφθονος, οἱ δὲ περὶ τοὺς θαλαττίους πόρους ἀγρυπνοῦντες λυπη- 334
ρότατοι. καὶ ὁ μὲν ἄμητος ἀγαθός, τοῖς δὲ κτήνεσι λοιμός. εἰ δὲ νύκτωρ, καρπῶν μὲν ἔνδειαν, ὑετώδες δὲ καὶ χαλαζῶδες τὸ θερινὸν κατάστημα. ἀμβλωσίς
160 A τε γυναικῶν συμβήσεται, καὶ τὸ νόστιμον ὕδωρ ἐπιλείψει· καὶ κινήσεις μὲν στρατευμάτων λυπηραί, τῇ δὲ ἀνατολῇ τύραννος οὐκ εὐτυχὴς ἐνοχλήσει.

Σελήνης οὔσης διδύμοις εἰ ἐν ἡμέρᾳ βροντήσῃ, θεοσεβέστατα ἔσται τὰ κοινά· εἰ δὲ ἐν νυκτί, τὰ ἐναντία.

Σελήνης οὔσης καρκίνῳ εἰ ἐν ἡμέρᾳ βροντὴ γένηται καὶ νεκρὰ συμβαίη, ταραχαὶ τοῖς κοινοῖς πράγμασιν ἔσονται καινοτομίαι τε τοῖς πράγμασιν ἐπὶ
B τὸ χεῖρον· οἱ δὲ καρποὶ ψεύσονται. ἀλλὰ μὴν καὶ ἡ θάλασσα τοῖς ναυτιλλομένοις ὀλεθρία ἔσται, καὶ φθορὰ μὲν ἀνθρώπων, ἀφθονία δὲ ἰχθύων. εἰ δὲ ἐν νυκτί, Αἰθίοψι καὶ Πέρσαις ὄλεθρος ἐνσκήψει· τὰ δὲ δυτικὰ οὕτως λιμώξει ὡς καὶ εἰς Αἴγυπτον δι' ἔνδειαν καταφυγεῖν.

Σελήνης οὔσης λέοντι ἐὰν βροντὴν ἐν ἡμέρᾳ γενέσθαι συμβαίη, δόλον κατὰ τῆς βασιλείας μελετᾶσθαι δηλοῖ. καινισμοί τε νόσων ἔσονται, καὶ θάνα-

v. 1 οὔσης] ἐν *P* || v. 3 προχεύματα corr. Hercher pro παροχεύματα || v. 11 οὔσης] ἐν *P* || v. 12 εἰ δὲ νυκτί, τοὐναντίον *P* || v. 14 οὔσης] ἐν *P* || βροντὴ γένηται] βροντήσῃ *P* || v. 15 καὶ νεκρὰ συμβαίη] om. *PR* || v. 19 δὲ νυκτὶ *CP* || v. 21 καταφυγεῖν] sic *P*, καταφυγὴν *C*, φυγεῖν *R* || v. 23 οὔσης] ἐν *P* et sic semper || ἐὰν βροντήσῃ, δόλον *P* || v. 25 pro νόσων coni. νόμων H. || ἔσονται om. *C*

τοι τοῦ πλήθους ἐκ τιμωριῶν. καὶ ὁ μὲν ἄμητος C ἄφθονος ἔσται, ὑπὸ δὲ πολεμίων διαρπαγήσεται, καὶ διαφερόντως κατὰ τὸ δυτικόν. κατισχύσουσί τε καὶ ἀδικήσουσιν οἱ ὑπερέχοντες τὸ ὑπήκοον. εἰ δὲ νυκτός, καὶ οὕτως ἡ βασιλεία ἐπιβουλευθήσεται, καὶ 335 μέρος τῆς ἀνατολῆς ὑπὸ βαρβάροις τελέσει. κατόμβρισις δὲ τοῖς ὑγροῖς καρποῖς λυμανεῖται. ἐπισυρήσονται δὲ τοῖς κτήνεσιν ἑρπετὰ θανατηφόρα· δυνατοὶ δὲ τῆς πολιτείας πεσοῦνται.

41. Σελήνης οὔσης παρθένῳ εἰ ἐν ἡμέρᾳ D βροντήσῃ, ὑγρότερον ἔσται τὸ τοῦ ἀέρος κατάστημα, ἀφθονία δὲ τῶν ξηρῶν καρπῶν, ὡς ἠρέμα πως ἐπιρρεπεστέρους γενέσθαι τοὺς ἀνθρώπους ἐπὶ τὰ πταί- 162A σματα. ἔσται δὲ καὶ φθορὰ τοῦ γυναικείου ἔθνους. εἰ δὲ νυκτός, λοιμὸς ἐνσκήψει τοῖς δυτικοῖς· τὰ δὲ θηρία οὕτως ἐπελεύσεται τοῖς ἀνθρώποις ὡς φωλεοῖς αὐτοὺς ἐγκατακρύπτεσθαι· καὶ δυνατῶν δὲ ἀνδρῶν ἔσται πτῶσις, καὶ ἔνδεια ξηρῶν καρπῶν.

Σελήνης οὔσης ζυγῷ εἰ ἐν ἡμέρᾳ βροντήσῃ, ἀγαθὰ ἐκδεχέσθωσαν ἄνθρωποι, ἐξῃρημένων Αἰγυπτίων. εἰ δὲ νυκτός, ἡ μὲν νεολαία ἐν ὅπλοις τελέ- B σει καὶ ἐν πολέμοις φθαρήσεται, ἀφθονία γε μὴν τῶν καρπῶν ἔσται, ὑπὸ δὲ βαρβάρων δαπανηθήσεται.

Σελήνης οὔσης σκορπίῳ ἐὰν ἐν ἡμέρᾳ βροντὴν ἢ ἀστραπὴν γενέσθαι συμβαίη, Ἄράβιοι ταραχθήσονται, ἔνδεια δὲ τῶν καρπῶν ἔσται, καὶ οἱ ἄνθρωποι κατ' ἀλλήλων χωρήσουσιν. Ἀσσυρία γε μὴν πιε-

v. 2 διαρπαγήσεται corr. Hercher pro διαρπαγήσονται || v. 6 κατόμβρησις malit Hercher || v. 7 post δὲ add. καὶ *R* || v. 11 βροντήσῃ transponit *P* ante ἐν ἡμέρᾳ || v. 19 βροντήσῃ transponit *P* ante ἐν ἡμέρᾳ || v. 24 εἰ βροντήσῃ ἐν ἡμέρᾳ ἢ *P* ||

cθήcεται λιμῷ. εἰ δὲ νυκτόc, πυρκαϊαὶ μὲν ἔcονται,
C πτώcειc δὲ πόλεων παραλίων καὶ διαφθορὰ καρπῶν
καὶ τετραπόδων, θηρίων δὲ παντοίων ἐπιδρομή· ὅθεν
εὔχεcθαι δεῖ, ὅπωc μὴ καὶ κεραυνῶν ἐνcκήψεcιν ἀναλωθῶcι.

Cελήνηc οὔcηc τοξότῃ ἐὰν ἐν ἡμέρᾳ βροντήcῃ, 336
Πέρcαιc ἀφανιcμὸν ἀπειλεῖ, καὶ ὁ βαcιλεὺc δὲ
αὐτῶν δολοφονηθήcεται, εὐκαρπία δὲ ἔcται καὶ χειμῶνεc εὔδιοι ἔcονται, καὶ φθορὰ μὲν ἀνθρώπων, ἀνδραποδιcμοὶ δὲ πόλεων. εἰ δὲ ἐν νυκτί, ἐπομβρίαν
D δηλοῖ, καὶ κάματον δὲ τοῖc ἐγκύμοcι καὶ νόcουc καὶ θανάτουc αἰφνιδίουc, ὡc περιττεύειν μὲν τοὺc καρπούc, ἀπολείπεcθαι δὲ τοὺc δαπανῶνταc. ἔcονται δὲ cάλοι καὶ ἄνεμοι βίαιοι, καὶ ἀφανιcθήcεται ἀνὴρ δυνατὸc καὶ βαρὺc τοῖc πράγμαcιν.

v. 1 λοιμῷ *C* || v. 4 ἀναλωθήcονται *P* || v. 6 ἐὰν] εἰ *P* || v. 9 καὶ add. Hercher || v. 10 ἐν om. *P* ||

ΚΑΘΟΛΙΚΗ ЄΠΙΤΗΡΗϹΙϹ 164

ΠΡΟϹ ϹЄΛΗΝΗΝ

ΠЄΡΙ ΚЄΡΑΥΝΩΝ ΚΑΙ ΑΛΛΩΝ ΚΑΤΑϹΤΗΜΑΤΩΝ,

ЄΚ ΤΩΝ ΛΑΒЄΩΝΟϹ ΚΑΘ' ЄΡΜΗΝЄΙΑΝ ΠΡΟϹ ΛЄΞΙΝ, ΑΠΟ ΤΗϹ ΘЄΡΙΝΗϹ ΤΡΟΠΗϹ

42. Εἰ κατὰ τὴν ἑνδεκάτην τοῦ καρκίνου μοῖραν A
σελήνη εἴη κριῷ, ἔσονται ἀχλύες καὶ βρονταὶ καὶ χάλαζαι, ταραχαὶ δὲ τοῖς δένδροις ἐκ βιαιοτέρων πνευμάτων, καὶ ζάλη ἀερία, τίμιοί τε οἱ καρποί, καὶ αὐχμηρὸν τὸ περιέχον ἐκ λοιμικῆς θερμασίας. εἰ δὲ ταύρῳ, ἔνδεια μὲν ἔσται τῶν ἐπιτηδείων, ἐλαίου δὲ
337 διαφερόντως, τὰ μέντοι σταθμῷ ἀποδιδόμενα εὐτελῆ
ἔσται. διδύμοις γε μὴν οὔσης τῆς σελήνης ἐπὶ τῆς θε- B
ρινῆς τροπῆς ἀμφίβολος ἔσται ὁ ἐνιαυτός· ἡγήσεται μὲν γὰρ ὑγρότης, ἕψεται δὲ ξηρότης, καὶ ὁ μὲν σῖτος ἐλάσσων, κρείττων δὲ ὁ οἶνος, καὶ οὐχ ἥκιστα τὸ ἔλαιον ἀφθονώτατα διαρκέσει. καρκίνῳ δὲ οὔσης σελήνης ἐπὶ τῆς θερινῆς τροπῆς, ὡς προϋποδέδεικται, εὔφορος ὁ ἐνιαυτὸς ἔσται περὶ πάντας τοὺς καρπούς, ξηρούς τε καὶ ὑγρούς· εἰκότως οὖν εὐθηνίαν προσδο-
κητέον. εἰ δὲ ἐπὶ τοῦ λέοντος σελήνης οὔσης ἡ θε- C
ρινὴ συνέλθοι τροπή, βροντώδη καὶ θυελλώδη ἄν τις ἐκδέξαιτο τὸν ἀέρα· νεφώδης γὰρ ἔσται καὶ ἀχλυώδης, ὡς περιττευούσης τῆς ἐξ ὑπερῴων ὑγρασίας τοὺς μὲν ξηροὺς καρποὺς ἐλαττωθῆναι, τοὺς δὲ ὑγροὺς

v. 1 Labeonis dissertatio extat etiam in *R* fol. 71 et *F* fol. 153 || v. 6 ἑνδεκάτην] ια̅ *F* || v. 7 σελήνη] καὶ *C* || v. 8 πνευμάτων] ἀνέμων *R* || v. 19 εὔφρονος *C* || v. 22 θελλώδη *C* || v. 23 ἐκδέξοιτο *CF* ||

166 A ἐπιδοῦναι. ὅταν δὲ ἐπὶ τῆς θερινῆς τροπῆς σελήνη
τὴν παρθένον ἔχοι, στεῖρος μὲν καὶ ἐγγὺς ἄκαρπος
ὁ ἐνιαυτός, ἐκ δὲ ἀδοκήτου περί τε τοὺς ξηροὺς καρ-
ποὺς καὶ ὑγροὺς ἔσται τις παραψυχή. ζυγῷ οὖσα ἡ
σελήνη εἰ τὴν θερινὴν καταλάβοι τροπήν, εὔφορον
μὲν καὶ αὐτάρκη τὸν ἐνιαυτὸν ἐμφαίνει περὶ τοὺς
ξηροὺς καρπούς, ὑγρὸν δὲ ὅμως καὶ ἔπομβρον· καὶ
B τὰ σταθμῷ διδόμενα τίμια ἔσται, τὸ δὲ ἔλαιον σὺν
καὶ τῷ οἴνῳ ἔσται τιμιώτατον. σκορπίῳ σελήνης ἐπὶ
τῆς μὲν θερινῆς τροπῆς τυγχανούσης ξηρὸς καὶ ὄψι-
μος ὁ ἐνιαυτὸς ἐπὶ τοῖς καρποῖς ἔσται, χαλαζώδης
δὲ οὐχ ἥκιστα καὶ ταρακτικός· ὅ γε μὴν σπόρος, καὶ
εἴ τι ὑπὸ γῆν, ἔξω ἐλπίδος· λιμὸς οὖν ἔσται πάντως
καὶ φθορὰ τῶν ἀνθρώπων. τοξότην ἐχούσης σελήνης
ἐπὶ τῆς τοῦ θερινοῦ κέντρου τροπῆς, πλημμύρα ἔσται 339
C ὑδάτων ἀτμοί τε καὶ χαλαζώδεις ὄμβροι, καὶ φθορὰ
τῶν πτηνῶν, καὶ ναυάγια οὐ μικρά, καὶ ἐλαττώσεις
μὲν τῶν ὑγρῶν καρπῶν, ἀφθονία δὲ τῶν ξηρῶν.
ὅταν γε μὴν τὸν αἰγόκερων ἔχῃ σελήνη ἐπὶ τῆς ἐν
θέρει τροπῆς, οὕτως ἐπομβρήσει ὁ ἀὴρ ὡς ἐμποδὼν
γενέσθαι τῇ συναγωγῇ τῶν καρπῶν καὶ μεταμελῆσαι
τοῖς γεωργοῖς τῆς ἐπὶ τῷ σπόρῳ σπουδῆς· ἐκ παρα-
δόξου δὲ οἱονεὶ τῆς προνοίας οἴνου μὲν καὶ ἐλαίου
ἀφθονία, ἥκιστα δὲ λοιμῶδες τὸ τοῦ ἀέρος κατάστη-

v. 2 ἀκαρπίας *F* || v. 4 παραψυχή] παρατροπὴ *F* || οὖσα ἡ σελήνη] scripsi ex *F*, ceteri οὔσης σελήνης || v. 5 εὔφορος μὲν καὶ αὐτάρκης ἔσται ὁ ἐνιαυτὸς περὶ *F* || v. 7 ὑγρὸς *F* || ἔπομβρος *F* || v. 8 post τίμια ἔσται *R* add. πάνυ || v. 9 ἔσται om. *F* || τιμιώτατα *CR* || post σελήνης *F* add. οὔσης || v. 10 μὲν θερινῆς] ἐν θέρει *F* || v. 11 ζαλαζώδης *C* || v. 14 τῶν om. *F* || v. 19 τὸν om. *F* || v. 20 ἐπομβρίσει *F* || ἐμποτίδ' *F* || v. 23 δὲ ante οἱονεὶ om. *F* || οἶνος *F* ||

μα. τῷ δ' ὑδροχόῳ ἢ τοῖς ἰχθύσιν ἐνδιατριβούσης D σελήνης τὰ αὐτὰ μὲν ἔσται σχεδὸν περὶ τὴν τῶν καρπῶν ἐκδοχήν, ἐλάττους δὲ ἔσονται οἱ ἰχθύες πρὸς αὐτοῖς, καὶ διαφερόντως οἱ ποτάμιοι καὶ ὅσοι θαλάσσης ἔξω μειωθήσονται.

ΠΕΡΙ ΚΕΡΑΥΝΩΝ 168 A

43. Τὰς φύσεις τῶν πραγμάτων λέγειν, καὶ ὅπως γίνεσθαι κεραυνοὺς ἡ παλαιότης ὑπολαμβάνει, τοῖς ἀρχαιοτέροις ἀποχρώντως τῆς περὶ τῶν τοιούτων θεωρίας διαληφθείσης οὐ τούτου καιρός, οὐδὲ τὸ ἐπάγγελμα τουτὶ προύθηκεν, ἀλλ' ὅπως κατὰ τὴν Θούσκων παράδοσιν ἐπιγνωσθεῖεν οἱ κεραυνοί, B τί ἄρα παραδηλοῦσιν ἐκπίπτοντες. ἐν τούτοις μὲν εἰδέναι χρὴ ὡς οὐ κατὰ πάντα τὸν ἐνιαυτὸν κεραυνοὶ ἀποθλίβονται· οὐδὲ γὰρ ἐπὶ θέρους ἢ ἐπὶ χειμῶνος
339 τοῦτο συμβαίνειν πέφυκε καθόλου, ἀλλ' ἐν ἦρι ἢ μετοπώρῳ, περὶ τὴν πλειάδος καὶ ἀρκτούρου ἐπι-

v. 1 ἢ] ἤτοι *CR* || v. 2 τὰ αὐτὰ] ταῦτα *F* || v. 3 δὲ corr. Hercher pro γὰρ || οἱ om. *F* || v. 5 ἔξω μειωθήσονται] sic *F*, εξωμιωθησονται *C*, ἔξω μαιωθήσονται *R* || v. 6 c. 43—52 reperitur etiam in *V* et *L* fol. 16 v. || v. 7 τὰς φύσεις] τὸ τῆς φύσεως *L* || v. 8 ὅπως] οὕτως *C* || ὑπολαμβάνειν *C* || post ὑπολαμβάνει *L* add. περιττὸν || v. 9 ἀρχαίοις *CL* || τῶν τοιούτων] τούτων *L* || v. 10 οὐ] οὐδὲν γὰρ *L* || οὐδὲ — προύθηκεν] om. *L* || v. 13 προδηλοῦσιν *L* || v. 14 οὐ κατὰ πάντα] οὐκ ἅπαντα *C*, οὐκ ἀνὰ πάντα coni. Bekker || v. 15—16 Plin. II 135 *hieme et aestate rara fulmina* || ἐν θέρει ἢ χειμῶνι *L* || ἢ ἐπὶ] οὐδὲ ἐπὶ *CV* || v. 16 πέφυκε συμβαίνειν *L* || Plin. II 136. *vere autem et autumno crebriora fulmina* Arrhian. ap. Stob. ecl. phys. I 29 p. 610 Heeren. πλεῖστοι δὲ ἦρος καὶ μετοπώρου .. περί τε πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν. || ἐν] ἐπὶ *L* || v. 17 τὴν] τῆς *L* ||

τολήν. ὅθεν οὐδὲ ἐν Cκυθίᾳ ἢ cυνελόντι εἰπεῖν ἐπὶ
τὸ ἀρκτῷον κέντρον κεραυνοὺς βάλλεcθαι, ἤγουν ἐπὶ
C τὸ νότιον, κέκριται, διὰ τὸ ψυχρὸν καὶ θερμὸν τοῦ
κατὰ τοὺς χώρους ἐκείνους καταcτήματος. ἐπὶ δὲ τῆς
Ἰταλίας ὡς μάλιστα· εὔκρατος γὰρ σχεδὸν παρὰ πᾶν
χωρίον ὁ κατ᾽ ἐκείνην ἀήρ, ἀπὸ μὲν νότου πλευρᾶς
ἑκατέρας τῷ βορρᾷ ἰάπυγί τε κώρῳ τε ἐξ Ἄλπεων
καταπνεομένης πάσης τῆς ὑποκειμένης τῷ Ἀπεννίνῳ
βαθείας, ἀπὸ δὲ τοῦ πρὸς λίβα νεύματος τῷ νότῳ,
καὶ νότῳ οὐ τῷ ξηρῷ καὶ βαρεῖ ἀλλὰ τῷ γονιμω-
D τάτῳ πάντων, οἷον εἶναι τοιοῦτον ἡ παρήκουσα πρὸς
Γάδειρα ἐπὶ τὸ Ἀτλαντικὸν μεγάλη παρασκευάζει θά-
λασσα, κιρνῶσα ταῖς ψυχραῖς ἀναθυμιάσεσι τὴν ἀτμώ-
δη καὶ λοιμικὴν τοῦ μεσημβρινοῦ νότου θερμότητα.
170A καὶ τὸ δὴ πάντων τῇ χώρᾳ τῆς εὐκρασίας αἰτιώτα-
τον, ἄνωθεν τῷ Ἰονίῳ, κάτωθεν δὲ τῷ Τυρσηνικῷ
παρακλύζεται πελάγει. ὅθεν δίς τε τὰ θρέμματα τοῦ
ἔτους ἀπογεννᾶν πέφυκε, τυρός τε οὐ λείπει „οὔτ᾽
ἐν θέρει οὔτ᾽ ἐν ὀπώρῃ.“ τοιαῦτα μὲν ἄν τις περὶ
Ἰταλίας εἴποι.

v. 1—4 Plin. II 135. *quae ratio inmunem Scythiam et circa rigentia a fulminum casu praestat et e diverso nimius ardor Aegyptum.* || v. 1 cυνελόντι corr. H. pro cυνελόντα || v. 2 κεραυνὸς βάλλεται *L* || ἤγουν sequ. corrupta sunt; H. mavolt οὐδὲ || v. 3 κέκριται om. *L* || τοῦ om. *L* || v. 4 κατάστημα *L* || v. 4—6 Plin. II 136. *qua ratione crebra in Italia, quia mobilior aer mitiore hieme et aestate nimbosa semper quodammodo vernat vel autumnat.* || v. 6 ἀπὸ μὲν νότου — πελάγει (v. 17)] om. *L* || v. 7 κώρῳ τε] corr. H., χώρω δὲ *C*, χώρα καὶ *V* || v. 11 οἷον εἶναι τοῦτον vel ὃν εἶναι τοιοῦτον mavolt H. || v. 17 post τὰ add. *L* ἐν αὐτῇ || τοῦ ἔτους om. *L* || v. 18 ὑπογεννᾶν *L* || τυρός τε] corr. H. pro τυρὸς δὲ || „οὔτ᾽ ἐν θέρει, οὔτ᾽ ἐν ὀπώρῃ“ sunt verba Homeri μ 76 || v. 19 τοιαῦτα—εἴποι (v. 20)] om. *L* ||

44. Διάφορος δὲ καὶ οὐ μονοειδὴς ἡ τῶν κεραυ-
νῶν φύσις. τοὺς μὲν γὰρ ψολόεντας ἡ παλαιότης B
καλεῖ, τοὺς δὲ ἀργῆτας, σκηπτούς τε καὶ πρηστῆρας.
οὐδὲ γὰρ πάντες ταὐτὸ πράττουσιν. εἰσὶ δὲ οἳ καὶ
ἀναστρέφουσι πρὸς τὰς ῥήξεις τῶν νεφῶν, ὅθεν καὶ
ἐξεθλίβησαν. καὶ οἱ μὲν διάπυροι πρηστῆρες, οἱ δὲ
340 μὴ πυρώδεις τυφῶνες, οἱ δ' ἔτι μᾶλλον ἀνειμένοι
ἐκνεφίαι. αἰγίδες γε μὴν λέγονται οἱ ἐν συστροφῇ
πυρὸς φερόμενοι. ταύτῃ αἰγίδα Διὶ περιτίθησιν ὁ λό-
γος, οἱονεὶ τὸν ἀέρα καταιγίδος καὶ συσσεισμοῦ αἴτιον
παραινιττόμενος. εἰσὶ δὲ καὶ ἕτερα σχήματα κεραυ- C
νῶν· ἑλικίας αὐτοὺς τὰ βιβλία καλεῖ, ὅτι ἑλικοειδῆ
γραμμὴν ἐν τῷ καταφέρεσθαι παραδεικνῦσιν. ἔστι δὲ
θαυμάσαι κἀν τούτῳ τὴν φύσιν καὶ τὸ ἄβατον τῶν
ἐν αὐτῇ θεωρημάτων. οὐδὲ γὰρ πάντες (καίτοι πάν-
τες ἐξ ἀέρος καὶ συστροφῆς νεφῶν φερόμενοι) τὰ αὐτὰ
ἀλλήλοις δρῶσιν. ὁ γὰρ ἐν αὐτοῖς λεγόμενος ἀργῆς,
ὃν καὶ λαμπρὸν ἐξαιρέτως καλοῦσιν οἱ ἀρχαῖοι, πολ- D
λάκις ἐμπεσὼν ἐπὶ πίθον ἢ ἄγγος ἁπλῶς ἢ οἴνου ἢ
ὕδατος, τὸ μὲν περιέχον ἀπήμαντον τὸ δὲ ἐμπεριε-
χόμενον ἄφαντον ἐποίησεν. οὐχ ἥκιστα δὲ καὶ ἐν

v. 1—15 similia narrat de mensib. III 15 et IIII 96, cf. Aristotel. meteor. III 1, 9 sq. et quos laudat in commentar. ad l. s. Ideler vol. II p. 259 sq., praeterea Plin. II 133, 134; Apulei. de mundo cap. 12 et 15 || v. 1 καὶ om. *C* || v. 6 εἰ μὲν *L* || v. 7 μὴ om. *L* || ἀνιμένοι *C* || v. 8 γε] δὲ *L* || v. 9 ταύτῃ — παραινιττόμενος (v. 11)] om. *L* || v. 11 παραινιττόμενοι *C* || v. 16 φερόμενοι] στρεφόμενοι *C* || v. 17—21 Plin. II 137. *tertium est quod clarum vocant mirificae maxume naturae, quo dolia exhauriuntur intactis operimentis nulloque alio vestigio relicto*, cf. Arrhian. ap. Stobaeum ecl. phys. I 29 p. 608 || v. 19 ἢ ante οἴνου om. *CL* || v. 20 ἀπήμαντος *C* || περιεχόμενον *V* || v. 20

cκεύεcι χρυcίον ἢ ἀργύριον φέρουcιν ἐμπεcὼν τῷ
172 A αἴcῳ τρόπῳ τὰ μὲν ἔνδον ἔτηξε, τὰ δὲ ἔξωθεν ἔcωcε. καὶ τὸ δὴ πάντων θαυμαcιώτατον ἐπὶ γυναικὸc ἐγκύμονοc cυμβῆναί φηcιν ὁ μέγαc Ἀπουλήϊοc, καὶ γυναικὸc οὐκ ἠγνοημένηc, Μαρκίαc δὲ ἐκείνηc τῆc Κάτωνι τῷ τελευταίῳ cυνοικηcάcηc. ἐμπεcὼν γὰρ αὐτῇ κεραυνὸc ὁ λεγόμενοc ἀργῆc ἤτοι λαμπρὸc αὐτὴν μὲν παντελῶc ἐφύλαξεν ἀβλαβῆ, τὸ δὲ ἐν αὐτῇ
B διεφόρηcεν οὕτωc ἀνεπαιcθήτωc ὡc μηδὲ αὐτὴν cυνιδεῖν ὅ τι γέγονε τὸ ἐν αὐτῇ, καίτοι πρὸc ἔξοδον ἔχον. τοιαύτην μὲν κατ᾽ ἐξαίρετον ἐνέργειαν ἡ τοῦ ἀργῆτοc εἴληχε φύcιc.

45. Γενικῶc δ᾽ εἰπεῖν, ἀβλαβῶc φυλάττεται ἀπὸ 341
κεραυνῶν καὶ οὐδὲ βάλλεται τὴν ἀρχὴν ἐν μὲν φυτοῖc δάφνῃ καὶ cυκῇ· καὶ γὰρ ἡλίου ταῦτα. ὅθεν καὶ δάφνην φιλεῖν Ἀπόλλων μυθεύεται, οἷον ὁ ἥλιοc· καὶ
C εἰc λέοντα μεταβαλλόμενοc, ἀντὶ τοῦ εἰc πῦρ, οὐ

— v. 2 Plin. l. s. *aurum et aes et argentum liquatur intus sacculis ipsis nullo modo ambustis ac ne confuso quidem signo cerae*, cf. Arrhian. l. s.

v. 2 ἔνδοθεν *L* ‖ ἐκτὸc *L* ‖ v. 3—11 Plin. l. s. *Marcia princeps Romanarum icta gravida partu exanimato ipsa citra ullum aliud incommodum vixit.* ‖ v. 3 τὸ δὴ] om. *L* ‖ πάντωc *L* ‖ καὶ ante ἐπὶ add. *CV* ‖ ἐπὶ—μέγαc] cυμβῆναι ἐπὶ ἐγγυμονούcηc γυναικὸc φηcὶν *L*, qui saepe immutatis et praetermissis verbis epitomes speciem prae se fert ita ut discrepantias eius non nisi ad rem facientes afferam. ‖ v. 4 pro Ἀπουλήϊοc perperam H. Πλίνιοc suspicatur ‖ v. 11 ἐνέργειαν om. *V* ‖ v. 13— p. 95 v. 6 eadem fere narrat Lydus de mensib. III 52 ‖ v. 13—15 Plin. II 146. *ex eis quae terra gignuntur lauri fruticem non icit.* Plutarch. symp. V 9, 4 ὥc φαcιν, οὐ κεραυνοῦται (ἡ cυκῆ). cf. IIII 2, 5 et Geoponic. VII 11 et XI 2 ‖ v. 13 ἀβλαβῆ *L* ‖ v. 15—p. 95 v. 1 Plin. XV 134. *(laurus) grata Apollini .... quia manu satarum receptarumque*

φθείρει τὴν δάφνην. ἐν δὲ πτηνοῖς ἀετός, ἐν δὲ ὑγροῖς φώκη· ὅθεν καὶ κεραυνοφόρος ὁ ἀετὸς καὶ Διὸς εἶναι νενόμισται. ἡ δὲ φώκη ὡς ἀπήμαντος ἐπιβολῇ κεραυνοῦ, μάρτυς ἡ πεῖρα ἀποδέδωκε· τῶν γὰρ νεῶν τὰ ἱστία, ἐν αἷς οἱ βασιλεῖς πλέουσι, φωκείοις εἴθισται ἀποδιφθεροῦσθαι δέρμασιν. οὐ πλέον δὲ πέντε ποδῶν κατακρύπτεσθαι κεραυνὸς πέφυκεν εἰς γῆν, ἐξωθούμενος ἄνωθεν· ὁ γὰρ ἀριθμὸς γηϊνώτατος. ἔστι D δ' ὅτε καὶ ὑπ' αἰθρίῳ τῷ ἀέρι πίπτουσι κεραυνοί· ὅπερ εἰ συμβαίη, οὐκέτι τὸν ἐπὶ τοῖς ζῳδίοις ἥλιον ἢ ἑτέραν γοῦν τῶν ἐγνωσμένων δέοι ἑρμηνείαν τοῦ ἐσομένου θηρᾶσθαι, ἀλλ' αὐτόθεν ἀποφήνασθαι ἀνατροπὴν 174A μὲν τοῖς κοινοῖς, ἀπώλειαν δὲ τῷ παντελεῖ χωρίῳ, ἐν ᾧ τοιοῦτό τι συμβήσεται. ἄλλην δὲ ἐκ τοῦ ἐναντίου ὁ Νιγίδιος ἐν τῇ τῶν Ὀνείρων ἐπισκέψει παραδίδωσιν ἐπὶ τοῖς κεραυνοῖς ἑρμηνείαν. φησὶ γὰρ πᾶσι μὲν καθόλου ἀπευκταίαν εἶναι τὴν τῶν σκηπτῶν

in domos fulmine sola non icitur. 135. *laurus quidem manifesto abdicat ignis crepitu et quadam detestatione.* ||
v. 1—2 Plin. II 146. *nec e volucribus (percutit fulmen) aquilam, quae ob hoc armigera huius teli fingitur.* || v. 3—6 Plin. l. s. *pavidi.. tabernacula pellibus beluarum, quas vitulos appellant (tutissima putant), quoniam hoc solum animal ex marinis non percutiat.* cf. Nonnus de morb. curat. c. 260. ταῦτα ἀποτρέπουσι κεραυνούς ... φώκης δέρμα ἢ ὑαίνης· τούτων δὲ τῶν ζῴων τὰς δορὰς περιφέρουσι καὶ τὰ τῶν αὐτοκρατόρων πλοῖα. Plutarch. symp. III 2, 5. διαφεύγει τὸν κεραυνὸν ... ἡ συκῆ καὶ τὸ δέρμα τῆς φώκης, ὥς φασι καὶ τὸ τῆς ὑαίνης, οἷς τὰ ἄκρα τῶν ἱστίων οἱ ναύκληροι καταδιφθεροῦσιν. || v. 3 ἐπιβουλῇ *C* || v. 5 ἐν οἷς *C* || φωκίοις ἤθισται *C* || v. 6—8 Plin. l. s. *nec unquam quinque altius pedibus descendit in terram.* || v. 7 κεραυνοὺς *C* || v. 12 ἀποφήβασθαι *C*, ἀποφοιβάσαι coni. Bekker || v. 15 ἐπισκίψει *C* || v. 17 cf. Müller Etrusc. II p. 170 ||

φοράν, κἂν εἰ μὴ τυχὸν βλάπτοιεν, τοῖς δ᾽ ὄναρ
B τουτὶ πάσχειν φανταζομένοις αἰσιώτατον καὶ λαμ-
πρᾶς τύχης προμάντευμα.
46. Ἄξιον δὲ ζητῆσαι τίνος χάριν ἐπὶ μὲν τῶν
ἄλλων διοσημειῶν τὴν σελήνην, ἐπὶ δὲ μόνων τῶν
κεραυνῶν τὸν ἥλιον ἡ ἀρχαιότης ἐπετήρησεν. εἴρη- 342
ται τοίνυν πολλαχοῦ ὡς πάσης τῆς ὁποιδήποτε τυγ-
χανούσης θερμῆς φύσεως καὶ πυρὸς ταμίας καὶ αἴτιος
ἥλιός ἐστι, καὶ διαφερόντως ἐκείνου τοῦ πυρὸς λέγω
τοῦ κατ᾽ ἐνέργειαν δραστικοῦ, καὶ ἐν ᾧ οὐδεμίαν ἡ
C σελήνη μετουσίαν ἔχειν φαίνεται. τί γὰρ κεραυνοῦ
δραστικώτερον ἢ πυρωδέστερον; ἐν ᾧ τοσαύτη τίς
ἐστιν ἡ κατὰ φύσιν ὀξύτης ὡς μηδὲ ἓν σῶμα παντελῶς
ὑπομένειν αὐτόν· ὥστε ἐπειδὴ μὴ μόνον ἐστὶν ὑγρό-
τητος ἔξω, ἀλλὰ καὶ πάσης τῆς ὁπωσδήποτε ὑποπι-
πτούσης αὐτῷ φύσεως σκεδαστής, δῆλον ὅτι ἡ σελήνη
ἀλλοτρία κεραυνῶν ἐστί. καὶ γὰρ ὑγρὰ τὴν φύσιν καὶ
ἐπὶ τῆς ὑγρᾶς τεταγμένη ζώνης, εἰκότως τε οὐ δυνα-
D μένη τὰ διὰ τῶν κεραυνῶν προλεγόμενα δηλῶσαι,
ὥστε ἥλιος αἴτιος κεραυνῶν. ταύτῃ Ζεὺς ὁ αὐτὸς
καὶ Ἥλιος τοῖς μυθικοῖς λέγεται, καὶ κεραυνὸν ἐπι-
φέρεται, καὶ ἀετὸς ὑπηρέτης αὐτῷ. καὶ ὅσα κατὰ

v. 5 τῆς σελήνης *C* || v. 6—10 cf. Ptolem. tetrab. fol. 5 || v. 7 πολλαχοῦ] sic *L*, πολλαχῶς *CV* || ὁπουδήποτε coni. H. || v. 8 καὶ πυρὸς] κἂν πυρὸς *C* || v. 9—22 cf. Plin. II 82 *latet plerosque magna caeli adsectatione conpertum a principibus doctrinae viris* (i. e. Babyloniis cf. II 191) *superiorum trium siderum ignis esse qui decidui ad terras fulminum nomen habeant, sed maxume ex his medio loco siti, fortassis quoniam contagium nimii umoris ex superiori circulo atque ardoris ex subiecto per hunc modum egerat, ideoque dictum Iovem fulmina iaculari.* || v. 17 cf. Ptolem. tetrab. fol. 5 || v. 18 ὑγρῆς *C* || v. 19 δηλώσει *C* ||

φύσιν θερμά, καὶ ἡλίῳ προσφυῆ. ὀρθῶς οὖν τὸν
ἥλιον οἱ ἀρχαῖοι, καὶ οὐ τὴν σελήνην, ἐπὶ τῆς τῶν κε- 176 A
ραυνῶν θεωρίας ἐπετήρησαν. ἐκείνοις τοίνυν ἀκολου-
θοῦντες τὰ εἰρημένα αὐτοῖς καθ' ἑρμηνείαν ἐροῦμεν.

47. Ἥλιος κριῷ. κεραυνὸς ἐνσκήπτων ἐπὶ
γῆς εἰ μὲν δένδρῳ ἐμπέσοι, τηρεῖν δεῖ ποίῳ τούτῳ·
οὐδὲ γὰρ πλανᾶσθαι πέφυκε καταφερόμενος, ἀλλὰ
ῥοιζηδὸν καὶ κατ' εὐθεῖαν καὶ οὕτως ἀπλανῶς κατα- B
φέρεται. καὶ εἰ μὲν ἀμπέλου καθάψεται, ἐλάττωσις
ἔσται τοῦ οἴνου, εἰ δὲ ἑτέρου τινὸς τῶν δένδρων,
343 τὴν ἐξ ἐκείνου καρπῶν ἔνδειαν παραδηλοῖ. εἰ δὲ ἐπὶ
ποταμὸν κατενεχθείη, ἐνδεὴς μὲν ὁ ποταμὸς ὑδάτων
ἔσται, ὅσον πρὸς αὐτόν, ὄλεθρος δὲ τοῖς ἐν αὐτῷ νη-
χομένοις ἐπιγενήσεται. εἰ δὲ ἐπὶ θαλάσσῃ, τὸν τόπον
ἐπιτηρεῖν δεῖ καθ' οὗ φέρεται ἡ φλόξ· πάντως γὰρ
ἐκεῖνος ὁ τόπος, καὶ οὐκ αὐτὸς μόνος ἀλλὰ καὶ τὸ περὶ C
αὐτὸν κλῖμα, ἢ πολέμῳ ἢ πειρατῶν δόλοις ταραχθήσε-
ται. εἰ δὲ ἐν πολιτικῷ ἢ δημοσίῳ κατενεχθείη τόπῳ,
ἐμφυλίους τε πολέμους καὶ στάσεις καὶ τοῦ πολιτεύ-
ματος ἀνατροπὴν δηλοῖ· αὐτὸν δὲ τὸν τόπον, καθ'
οὗ ἐξαιρέτως φέρεται, οὐκ ἀλλοιώσει μόνον, ἀλλὰ
καὶ τὴν ἐν αὐτῷ τύχην παντελῶς ἀναβάλῃ. εἰ δὲ ἐπὶ
τείχους πέσῃ, βλάψῃ δὲ μηδέν, πολεμίων ἔφοδον
σημαίνει· εἰ δὲ διαφθείρῃ τοῦ τείχους μέρος τι, σκο- D
πητέον κατὰ ποίου τινὸς μέρους καὶ πρὸς ποῖον ἀφο-
ρῶντος κέντρον τὸ τῆς διοσημασίας γένοιτο· ἐξ ἐκεί-
νου γὰρ πάντως τοῦ κλίματος πολεμίους ἀναμένειν
δεῖ κατὰ τοῦ τείχους. εἰ δὲ καθ' ἱεροῦ πέσῃ κεραυνός,
τοῖς ἐνδόξοις τοῦ πολιτεύματος καὶ τοῖς περὶ τὴν βα- 178 A

v. 8 ῥυζηδὸν *C* ‖ v. 11 ἐκείνων *C* ‖ v. 15 φέρηται *C* ‖ v. 21 φέρηται *C* ‖ v. 23 πέσει *C* ‖ πολέμων *C* ‖ μὲν ante ἔφοδον del. Hercher ‖ v. 24—28 cf. Müller Etrusc. II p. 165 ‖

ϲιλείαν αὐλὴν ὁ κίνδυνοϲ ἐνϲκήψει. εἰ δὲ κατ' ἀγαλμάτων κατενεχθῇ, ποικίλαϲ καὶ ἐπαλλήλουϲ τὰϲ ϲυμφορὰϲ τοῖϲ πράγμαϲιν ἀπειλεῖ· εἰ γὰρ χαρακτῆρεϲ ἰδεῶν τινῶν καὶ κόϲμια πόλεων τὰ ἀγάλματα ὑπωπτεύθη τοῖϲ παλαιοῖϲ, ἀρὰ τοῖϲ πράγμαϲιν ἡ περὶ αὐτὰ ὕβριϲ.

B 48. Ἥλιοϲ ταύρῳ. ἐὰν κεραυνὸϲ κατενεχθῇ ἐπὶ καρποφόρον δένδρον, εὐκαρπίαν τοῖϲ κατ' αὐτὸ καρποῖϲ ϲημαίνει· τῷ δὲ γένει τῶν βοῶν ἐπιβλαβὲϲ 344 τὸ ϲημεῖον τοῦτο. εἰ δὲ ἐπὶ ποταμὸν κατενεχθείη ὁ κεραυνόϲ, λοιμώξει τὸ ὕδωρ καὶ τρόμοϲ ἐπιγενήϲεται τοῖϲ ϲώμαϲι τῶν ἀνθρώπων, ἀνατροπὴ δὲ τῶν ποταμίων ἰχθύων γενήϲεται. εἰ δὲ εἰϲ θάλαϲϲαν κατὰ τόδε καιροῦ κατενεχθείη ὁ κεραυνόϲ, ἀγαθὰ ϲημαίνει τοῖϲ πληϲιοχώροιϲ· οἱ γὰρ πειρατεύοντεϲ χείρω πρά- C ξουϲιν. εἰ δὲ ἐπὶ τείχουϲ κατενεχθείη, οὐ καλὸν τοῖϲ βοϲκήμαϲιν· ἢ γὰρ διαφθαρήϲονται ἢ ὑπὸ πολεμίων διαρπαγήϲονται. εἰ δὲ καὶ μέροϲ τοῦ τείχουϲ τῇ βολῇ τοῦ κεραυνοῦ καταφθαρείη, ταῖϲ νομαῖϲ τῶν χωρίων ἔϲται λοιμὸϲ καὶ ἔφοδοϲ πολεμίων οὐκ εὐχερὴϲ εἰϲ ἄμυναν, καὶ ἄλλαι δέ τινεϲ βλάβαι κάρτα ϲφαλεραὶ προϲγενήϲονται. εἰ δὲ κατὰ τὸν καιρὸν τοῦτον ἐπὶ ἱερὸν ὁ κεραυνὸϲ κατενεχθείη, χωρίων δημοϲίαϲ ζη- D μίαϲ ἀπειλεῖ· δεῖ δὲ ὅμωϲ τοὺϲ ἐφόρουϲ τῶν τοιούτων ἱερῶν θεραπεύειν εἰϲ τὸ ἀποϲτρέψαι τὰ ἀπειλούμενα. εἰ δὲ κατ' ἰδιωτικῆϲ ἢ βαϲιλικῆϲ οἰκίαϲ κατενεχθείη κεραυνόϲ, ϲυμφορὰϲ ἀναιϲίουϲ παραδηλοῖ τοῖϲ κεκτημένοιϲ.

49. Ἥλιοϲ διδύμοιϲ. κατὰ τὴν ἐπιτολὴν ταύ- 180 A την εἰ κεραυνὸϲ ἐπὶ δένδρου καρπίμου κατενεχθείη,

v. 1 αὐλὴν corr. Hercher pro αὐτὴν || v. 3 ἰδεῶν corr. Hercher pro εἰδεῶν || v. 6 κατενεχθείη *V* || v. 7 ἢ ἐπὶ *CL* || v. 14 οὐ χειρωπράξουϲιν *C* || v. 17 βουλῇ *C* ||

βλάψει τοὺς γεωργικοὺς καὶ τὰ καρποφόρα δένδρα,
οὐχ ἥκιστα δὲ ποταμοὺς καὶ πηγάς· λοιμώξει δὲ τὸ
ὕδωρ ὡς πᾶσαν καταφθεῖραι ἡλικίαν. εἰ δὲ ἐπὶ θα-
λάσσης, πολεμίων ἔφοδον ἀπειλεῖ· τὸ δὲ πολὺ μέρος
ἢ νόσῳ φθαρήσεται ἢ πολεμίοις παραδοθήσεται, ὡς
σφόδρα μετρίους ἀπολειφθῆναι. εἰ δὲ νότου πνέον-
345 τος κατὰ δημοσίου χωρίου κατενεχθείη κεραυνός, B
παντελῆ φθορὰν ἀνθρώποις ἀπειλεῖ· δύο δέ τινες
κατὰ τῆς βασιλείας ἐπαναστήσονται, ὡς μερισθῆναι
τὴν βουλὴν καθ' ἑαυτήν· μικρὸν δὲ ὕστερον ἑκάτερος
αὐτῶν ἀποφθαρήσεται, πολλοὶ δὲ χάριν ἐκείνων κιν-
δυνεύσουσιν. εἰ δὲ ἐπὶ τείχους κατὰ τόδε καιροῦ
σκηπτὸς ἐκπέσῃ, τὰ αὐτὰ σημαίνει· πόλεμοι γὰρ
ἔσονται, ἀλλ' οὐκ εὐτυχεῖς τοῖς πολεμίοις. ἐπισημή-
νασθαι δὲ χρεὼν ἐκ ποίου κλίματος τοῦ ἀέρος ἐκπί- C
πτοι ἡ φλόξ· ἐπ' ἐκείνου γὰρ φυλακῆς καὶ ἀσφαλείας
δέον· καὶ γὰρ ἐξ αὐτοῦ πολεμίων ἔφοδος ἔσται.

Ἥλιος καρκίνῳ. εἰ κατὰ τὴν ἐπιτολὴν τοῦ
καρκίνου κεραυνὸς ἐπὶ ὕλην κατενεχθείη, μετριώτε-
ρον ἔσται τὸ καυσῶδες τοῦ καιροῦ, λειψυδρία δὲ
ἔσται. εἰ δὲ ἐπὶ θαλάσσης κατενεχθείη, στόλοις πολε-
μίων καὶ ναυμαχίαις ταραχθήσεται τὸ κλῖμα, ἀλλ'
οὐκ ἐπιμενεῖ χρόνῳ, ἔσται δὲ κρείττονα τὰ πράγμα- D
τα, καὶ οἱ πολέμιοι ἡττηθήσονται, καὶ ὁ στόλος αὐ-
τῶν καταβυθισθήσεται. εἰ δὲ κατὰ δημοσίου τόπου
κατενεχθείη τὸ πῦρ, θηρία ἑρπετὰ τοῖς κτήνεσιν ἐνο-
χλήσουσι, καὶ οὐχ ἥκιστα ἀνθρώποις· βιαιοτέρα δὲ
ἔσται ἡ ἐξ αὐτῶν βλάβη τῷ τοῦ ἀέρος βαρεῖ κατα- 182 A
στήματι θερμαινομένη. εἰ δὲ ἐπὶ τείχους κατενεχθείη,

v. 18 εἰ] ἡ *C* || v. 25 δημοσίου τόπου] δημοσίου *L*, δημοσίους τόπους *CV* || v. 28 αὐτῷ *C* ||

ἐμπρηcμοὺc cημαίνει· καὶ πόλεμος δὲ κινηθήcεται οὐκ εὐτυχὴc τοῖc πράγμαcιν. εἰ δὲ παντελῶc καταφθαρείη τῷ cκηπτῷ τὸ τεῖχος, ἐμπρηcμοὺc κατὰ τῶν ἀναγκαίων τῆc πόλεως μερῶν προcδοκητέον, δόλοιc δὲ οὗτοι καὶ ἐπιβουλαῖc γενήcονται, ἕψεται 346 δὲ καὶ πόλεμος οὐ μικρόc, καὶ βλάβη γενήcεται τοῖc τόποιc.

B 50. Ἥλιος λέοντι. κατὰ τοῦτον τὸν καιρὸν εἰ κατενεχθείη κεραυνὸc καθ᾽ οἵου δήποτε τόπου ἢ μέρουc ἢ ποταμοῦ ἢ θαλάccηc, ὄλεθρον τοῖc βαcιλεῦcι καὶ τοῖc ἐν δυναcτείαιc cημαίνει· καὶ οὐκ ἔcτι τις διαφορὰ περὶ τούτου. εἰκότωc τε κοιναὶ cυμφοραὶ τοῖc δημοcίοιc βλαcτήcουcι· cυγκινδυνεύcειν γὰρ εἰκὸc αὐτοὺc τοῖc βαcιλεῦcι. καὶ οὐκ ἔcται ὁ νικῶν ἐν τοῖc μαχομένοιc, ἀλλὰ καθολικὴ φθορὰ αὐτῶν τε τῶν ἐν C δυνάμει καὶ οὐχ ἥκιcτα τῶν ὑπὲρ αὐτῶν ἐνιcταμένων ταῖc μάχαιc. καὶ τὸ δὴ πάντων cχετλιώτερον, καταφθαρήcονται καὶ αἱ περιουcίαι τῶν πολλῶν, καὶ αἱ πόλειc πυρίφλεκτοι ἔcονται.

Ἥλιος παρθένῳ. ἡλίου δὲ ἐπὶ τὴν παρθένον ἰόντος εἰ κατενεχθείη κεραυνόc, φθορὰν γυναικῶν ἀπειλεῖ cωφρόνων, πτῶcιν δὲ καὶ αὐτῇ τῇ βαcιλίδι καὶ τοῖc αὐτῆc τέκνοιc. ἐλάττωcιc δὲ ἔcται τῶν δήμων, ἀποτεύξεται δὲ καὶ ἡ ἄμπελος· ταῖc δὲ παρθέ- D νοιc καὶ γυναιξὶ γενήcονται cυμφοραὶ ὡc καὶ ὑπὸ πολεμίων ἁλῶναι.

Ἥλιος ζυγῷ. ἐὰν δὲ ζυγῷ ὁ ἥλιος γένηται,

v. 5 δόλοιc δὲ οὗτοι] καὶ ἐμπρηcμοὶ δόλοιc *CL* || v. 11 ἔcται *LV* || v. 13 δημίοιc *C*, δήμοιc suspicatur H. || βλαcτήcουcι corr. Hercher pro βλαcθήcονται || v. 17 cχεταιότερον *C* || v. 22 ἀποτελεῖ *L* || v. 23 αὐτῆc] αὐτοῖc *C* ||

εἰ συμβῇ κεραυνὸν καταβληθῆναι, πᾶσα ἀδικία καὶ
ἀπληστία καὶ φιλαρχία κατακρατήσει τῶν πραγμά- 184 A
των, ὡς καὶ περὶ τὰ θεῖα αὐτὰ τὰ τῆς ὕβρεως ἀνε-
νεχθῆναι. ἀπορριφήσονται δὲ ὑπὸ τῶν βασιλέων οἱ
347 χρηστοὶ τοῦ πολιτεύματος. τὰ δὲ μέτρῳ ἢ σταθμῷ
ἀποδιδόμενα οὐχ ἕξει τὸ δίκαιον. πάντων δὲ βαρυ-
τέρα ἔσται ἡ περὶ τὰ δημόσια τελέσματα σπουδή, οἵ
τε νόμοι καταφρονηθήσονται, καὶ οἱ δῆμοι ἐξ ἀλογίας
ταραχθήσονται, καὶ ἐκ παντὸς τρόπου καὶ ἡ τοῦ θεοῦ
δειχθήσεται ὀργή.

51. Ἥλιος σκορπίῳ. ὅταν δὲ σκορπίῳ γένη- B
ται, εἰ κατὰ δένδρου κατενεχθείη κεραυνός, πλοῦτον
μὲν τοῖς κυρίοις τοῦ δένδρου ἐπαγγέλλεται, τὸ δὲ
γεωργικὸν ἐλαττωθήσεται. ἐπικίνδυνος δὲ καὶ ὁ
πλοῦς ἔσται, καὶ συχνοὶ ἐπὶ τῆς θαλάσσης ἐκπεσοῦν-
ται κεραυνοί, ναυάγιά τε πολλὰ συμβήσεται. εἰ δὲ
κατὰ δημοσίου τόπου ἐνσκήψει κεραυνός, νεανίας
ἀναιδὴς τῆς βασιλείας ἐπιλάβηται, ἀσώτων καὶ διε-
φθορότων συντρεχόντων αὐτῷ. εἰ δὲ κατὰ τειχῶν C
κατενεχθείη κεραυνός, πολέμους ἐκ τῶν πλησιοχώ-
ρων καὶ φθορὰν τῇ νεολαίᾳ δεδιέναι χρή. οἱ δὲ πο-
λέμιοι μυρίοις εἰσπεσοῦνται κακοῖς, ὡς εὐκταῖον αὐ-
τοῖς νομισθῆναι τὸν θάνατον.

Ἥλιος τοξότῃ. ὅταν δὲ ἥλιος ἐπὶ τοξότην
γένηται, εἰ κατενεχθείη κεραυνὸς ἐπὶ ὕλην, ἐμπρη-
σμοὺς ταῖς ναυσὶν ἀπειλεῖ. εἰ δὲ ἐπὶ ποταμοῦ κατε-
νεχθείη, πολέμους καὶ ναυμαχίας σημαίνει, ὡς ἐρή-
μους πολλοὺς ἐκ τῆς τοιαύτης ἐφόδου γενέσθαι. κί- D

v. 3 pro περὶ H. mavolt πρὸς || v. 4 ὑπὸ corr. H. pro ἀπὸ || v. 14 ὁ πλοῦς] ἄπλους *C* || v. 22 εὐκτέον *C* || v. 26 ἀποτελεῖ *L* ||

νηϲιν δὲ οὐχ ἥκιϲτα ἀπειλεῖ Περϲῶν, καὶ ἔνδειαν ταῖϲ πολιορκουμέναιϲ ὑπὸ πολεμίων πόλεϲιν. εἰ δὲ πρὸϲ ταῖϲ ἡλίου δυϲμαῖϲ ϲκηπτὸϲ κατενεχθείη, ἐμφυλίουϲ
186 A ϲημαίνει μάχαϲ· ἀλλ᾽ οὐκ εἰϲ χρόνον ἐκταθήϲεται τὰ τῆϲ διχονοίαϲ, κρείττονα δὲ ἔϲται τὰ πράγματα, αὐ- 348
τῶν τῶν αἰτίων τῆϲ ϲτάϲεωϲ ἀπολλυμένων, ὥϲτε τὸ πολίτευμα εἰρήνηϲ ἀπολαῦϲαι.

52. Ἥλιοϲ αἰγόκερῳ. κατὰ τόδε καιροῦ κεραυνὸϲ καταφερόμενοϲ ἐφ᾽ ὃν ἂν κατενεχθείη τόπον, γενικὴν ἱλαρίαν ϲημαίνει, εἰρήνην τε ταῖϲ πόλεϲι καὶ
B εὐκαρπίαν τοῖϲ ἀγροῖϲ ἔπαινόν τε τοῖϲ βαϲιλεῦϲι τῆϲ πολιτείαϲ.

Ἥλιοϲ ὑδροχόῳ. κατὰ δὲ τὸν καιρὸν τοῦτον· εἰ κεραυνὸϲ κατενεχθείη, ἐκδρομὰϲ τῶν ποταμῶν ἀπειλεῖ καὶ ἀφανιϲμοὺϲ τῶν χωρίων. τὸ δὲ θέροϲ καυϲῶδεϲ ἔϲται, καὶ ἐλάττωϲιϲ οἴνου καὶ ἐλαίου, ὡϲ πολλοὺϲ ἐκ τῆϲ ἐνδείαϲ μετανάϲταϲ γενέϲθαι.

Ἥλιοϲ ἰχθύϲιν. ὅταν δὲ ἰχθύϲιν ἥλιοϲ γένηται, εἰ κεραυνὸϲ κατενεχθείη, ζάλην τῇ θαλάϲϲῃ ἀπειλεῖ, ναυαγία δὲ ἔϲται βαρεῖα, καὶ ἀνατροπὴ μὲν
C τῶν ἰχθύων, ὀχληθήϲεται δὲ οὐδὲν ἧττον ἡ θάλαϲϲα ὑπὸ πειρατῶν. νέοϲ δέ τιϲ εὐγενὴϲ ϲτρατευϲάμενοϲ ἀπολέϲει τὸ πειρατικὸν καὶ ἔνδοξοϲ ἐπὶ τῇ νίκῃ γενήϲεται. καὶ εἴρηται μὲν πρότερον ὡϲ οὔτε ἐν Cκυθίᾳ οὔτε ἐν Αἰγύπτῳ κεραυνοὶ καταφέρονται· εἰ δὲ τυχὸν κατενεχθείη κατὰ τόδε καιροῦ ἐπὶ τὰ εἰρημένα κλίματα κεραυνόϲ, ἀγαθὰ τοῖϲ ἐκεῖ ϲημαίνει.

v. 11 ὑγροῖϲ *L* || τῆϲ πολιτείαϲ] καὶ τοῖϲ μεγιϲτάνοιϲ αὐτῶν *L* || v. 22 ὑπὸ] sic *L*, ἀπὸ *CV* || v. 23 τῇ νίκῃ coni. H. pro τὴν νίκην || v. 27 ἐκεῖϲε *L* ||

ΠΕΡΙ CΕΙCΜΩΝ D

53. Δήλων οὐcῶν τῶν εἰρημένων τοῖc πάλαι
φιλοcοφήcαcιν αἰτιῶν ἐπὶ τοῖc περὶ τὴν γῆν πάθεcι,
349 μίαν ἐκ παcῶν, τὴν περὶ τοῦ καταγείου πυρόc, τέωc
ἀποδεχόμενοc, ἐπεὶ καὶ τοῖc τόποιc, ἐν οἷc cυνεχῶc 188 A
cάλοι cυμβαίνουcιν, οἶδα γενόμενον ἐμαυτόν, ὀλίγα
ἄττα περὶ τῶν ὄψεcιν αὐταῖc ὑποπεcόντων ἡμῖν
ἀφηγηcόμεθα. καὶ γὰρ τὸ πῦρ, διεργαζόμενον καὶ
ἐξαραιοῦν τὴν ἐν βάθει γῆν, τουτὶ παραcκευάζει cυμ-
βαίνειν. ἀμέλει τὰ πληcιάζοντα τοῖc ἀναφυcήμαcι
καὶ ταῖc τῶν θερμῶν ἀναβολαῖc ὑδάτων πυκνότερον
cείεται, οἷα τὰ περὶ τὴν Φρυγίαν Λαοδίκειαν καὶ τὴν B
παρ' αὐτῇ Ἱερὰν πόλιν καὶ τὴν καθ' ἡμᾶc Φιλαδέλ-
φειαν, καὶ καθ' ὅλου τὴν ἐπὶ τάδε Ἀcίαν, καὶ τὰ
πλεῖcτα δὲ τῆc πρὸc δύνοντα ἥλιον Εὐρώπηc, Cικε-
λίαν λέγω καὶ Ἰταλίαν. καὶ γὰρ ἡ τῶν cειcμῶν γένε-

v. 1 dissertatio de terrae motibus (cap. 53—58 extr.) extat etiam in *R* fol. 70, in cod. Regio 1991 fol. 1 (in quo cum epitome tantum reperiatur, nullas eius scripturas enotavit Hase) in *L*, in quo inscribitur rubr. περὶ cειcμῶν καὶ τί τὸ αἴτιον τούτων ὧδε διαλεχθήcεται κατὰ φυcικὴν δύναμιν ‖ cap. 53 cf. Aristot. meteor. II 8 ‖ v. 5 pro καὶ H. mavolt κἂν ‖ inde a v. 8 usque ad p. 105 v. 9 reperitur etiam in *F* et *G* de quibus vide epimetrum de terrae motibus ‖ v. 9 ἐξηρετῶν *F* ‖ v. 10 ante ἀμέλει *CR* ἢ add. quod H. mutat in ᾗ ‖ v. 11 ἀναβολαῖc ὑδάτων] ὑδάτων ἀναδόcεcιν *G* ‖ v. 12 αἴεται *C*, περιcείεται *G* ‖ cf. Aristot. d. mund. p. 395b 26 sq. Bekker. ‖ οἷα] om. *F*, ταῦτα δ' εἰcὶ *G* ‖ τὴν om. *G* ‖ Φρυγίαc *CGR* ‖ post Φρυγίαc add. *G* καὶ ‖ τὴν παρ' αὐτῇ] om. *FG*, τὴν παρ' αὐτὴν *L* ‖ v. 13 τὴν καθ' ἡμᾶc] om. *FG* ‖ v. 14 τὴν ἐπὶ τάδε] τὰ ἐπὶ τὴν *L* ‖ v. 15 πρὸc] κατὰ τὸν *L* ‖ v. 16 cf. Aristot. meteor. II 8, 9; Plin. II 194 ‖ λέγω om. *F* ‖

cιc πνευμάτων ἐcτὶ ξηρῶν διὰ cηράγγων ἰόντων· τοῦ
δὲ πλεοναcμοῦ αἰτίαι πλείουc. πρώτη μὲν καὶ μεγίcτη
ἡ τοῦ καταγείου πυρὸc ἐξαραίωcιc, δευτέρα δὲ ἡ τῆc
θαλάccηc εἰc τοὺc cηραγγώδειc τόπουc ἐπιδρομή.
C cυνεργεῖ δὲ καὶ πολυομβρία χειμῶνοc, καὶ θέρουc
ἀνομβρία· ἡ μὲν γὰρ πιλοῦcα τὴν γῆν καὶ εἰc τὸ βά-
θοc ἀπωθουμένη τὸ πνεῦμα ἀρχὴν αὐτῷ θλίψεωc πα-
ραcκευάζει, ἡ δὲ ἐπιcπωμένη καὶ cύρουcα. (54). τῶν
δὲ cειcμῶν οἱ μέν εἰcιν ἐπικλίνται οἱ δὲ βράcται, καὶ
ἐπικλίνται μὲν οἱ κυματηδὸν ἐπὶ τὰ πλάγια cείοντεc,
βράcται δὲ οἱ τινάccοντεc καὶ cείοντεc ἄνω καὶ κάτω.
εἰcὶ δ᾽ αὐτῶν οἱ μὲν ῥῆκται, οἱ δὲ cειcταὶ μόνον, οἱ
D δὲ ἰζηματίαι, καὶ cειcταὶ μὲν οἱ τρόμον τινὰ τῆc γῆc
ἢ καὶ cύμπτωcιν τῶν δεδονημένων ἐργαζόμενοι, ἰζη- 350
ματίαι δὲ οἳ τοῖc κοιλώμαcι τὴν ὑπερκειμένην εἰcκα-
θίζουcι γῆν, ῥῆκται δὲ οἱ τὰc καταπόcειc καὶ τὰ χά-

v. 1 πνευμάτων — πλείουc (v. 2)] sic scripsi ex *FG*, πνεύματόc ἐcτι ξηροῦ διὰ cηραγγώδουc φθαρτοῦ *CR*, πνεύματόc ἐcτι ξηροῦ *L* ‖ v. 2 post μὲν add. οὖν *G* ‖ post μεγίcτη add. αἰτία *G* ‖ v. 3 post ἐξαραίωcιc add. ἐcτὶ *G* ‖ v. 5 post δὲ add. ταύτῃ *G* ‖ κατὰ τὸν χειμῶνα καὶ αὖ κατὰ τὸ θέροc *G* ‖ v. 6 ἡ] εἰ *FL* ‖ πηλοῦcα *CF* ‖ v. 7 πνεῦμα καὶ ἀρχὴν *C* ‖ ἐκθλίψεωc *FG* ‖ v. 8 cείουcα *L* ‖ v. 9— p. 105 v. 1 Aristot. de mundo p. 395 b 36 Bkk. τῶν cειcμῶν οἱ μὲν εἰc πλάγια cείοντεc κατ᾽ ὀξείαc γωνίαc ἐπικλίνται καλοῦνται, οἱ δὲ ἄνω ῥιπτοῦντεc καὶ κάτω κατ᾽ ὀρθὰc γωνίαc βράcται, οἱ δὲ cυνιζήcειc ποιοῦντεc εἰc τὰ κοῖλα χαcματίαι· οἱ δὲ χάcματα ἀνοίγοντεc καὶ γῆν ἀναρρηγνύντεc ῥῆκται καλοῦνται. ‖ v. 9 ἐπικλίνται corr. H. ex Aristotele pro ἐπικλινίαι, quod semper omnes codices exhibent. ‖ v. 10 ante ἐπικλίνται om. καὶ *CLR* ‖ post μὲν add. εἰcιν *L* ‖ v. 12 μόνον om. *F* ‖ v. 13 εἰcζηματίαι *C*, ζηματίαι *L* ‖ v. 14 ἢ] οἱ *C*, om. *FGL* ‖ ζηματίαι *L* ‖ v. 15 οἱ *GL* ‖ κυκλώμαcι *CF GL* ‖ εἰκαθίζουcι *C*, ἐγκαθίζουcι *FL*, ἐγκαθίζοντεc *G* ‖ v. 16 δὲ om. *L* ‖ καταπτώcειc *FG* ‖ χάcματα] cχήcματα *L* ‖

cματα διαπηδώcηc τῆc γῆc ἀποcχίζοντες. ἔτι τῶν 190 A ῥηκτῶν οἱ μὲν πνεύματα ἀναβάλλουcιν, οἱ δὲ ὑγρὰ καὶ πηλόν, οἱ δὲ μυκήματα, ἐνίοτε μὲν cὺν cειcμῷ, ἐνίοτε δὲ καὶ ἄνευ τούτου πιλούμενον τὸ πνεῦμα καὶ μετεμπῖπτον βρόμον τε καὶ ψόφον ῥηγνυμένων τινῶν (ὡc εἰκὸc) ὑπὸ γῆν πετρῶν ποιεῖ. cυμβαίνουcι δ' ὡc ἐκ πλείονοc ἐν ἔαρι ἢ ἐν μετοπώρῳ, καὶ νηνεμίᾳ μᾶλλον ἢ ἀνέμων φορᾷ, περὶ πλειάδοc καὶ ἀρκτ- B ούρου ἐπιτολήν.

Ταῦτα μὲν ἄν τιc πρὸc τὰc φυcικὰc ἐννοίαc ἀφορῶν εἰκονίcειε· προνοίᾳ δὲ ὅμωc καὶ ἐπιcκοπῇ τῆc δίκηc πάντα γίνεται. οὐ γὰρ εἰκῇ, ἐπεὶ τόδε τὸ πᾶν νόμοιc μὲν φυcικοῖc cυγκροτεῖται, προνοίᾳ δὲ θεοῦ καὶ λόγῳ cιγῆc ἐπέκεινα διοικεῖται. ὅθεν οὐ μό-

v. 1—3 Aristot. l. s. p. 396ª 5. τούτων δὲ οἱ μὲν καὶ πνεῦμα προcαναβάλλουcιν, οἱ δὲ πέτραc, οἱ δὲ πηλόν, οἱ δὲ πηγὰc φαίνουcι τὰc πρότερον οὐκ οὔcαc ... γίνονται δὲ καὶ μυκητίαι cειcμοὶ cείοντεc τὴν γῆν μετὰ βρόμου. || v. 2 πνεύμα *F* || v. 3 ἐνίοτε — cειcμῷ] om. *L* || post cὺν add. τῷ *FG* || v. 4—6 Aristot. l. s. πολλάκιc δὲ χωρὶc cειcμοῦ γίνεται μύκημα γῆc, ὅταν τὸ πνεῦμα cείειν μὲν μὴ ᾖ αὔταρκεc, ἐνειλούμενον δ' ἐν αὐτῇ κόπτηται μετὰ ῥοθίου βίαc. cf. meteor. II 8, 38 || v. 4 πιλούμενον] πειλούμενον *C*, πηλούμενον γὰρ *F* || v. 5 μεταπίπτον *FGR* || v. 6—9 Aristot. meteor. II 8, 11 et 4 || v. 7 ὡc ἐπὶ τὸ πλεῖcτον *G* || v. 8 φθορᾷ *C* || inde a v. 10 usque ad finem capitis 58 extat etiam in *A*, ex quo edidit Schow in editione Lydi de mensibus p. 130—134 et in *P* fol. 186 rect., in quo rubre inscribitur Ἰωάννου Λαυρεντίου φιλαδελφέωc περὶ cειcμῶν μετὰ τὸ τὰ ἐν τῷ ἑτέρῳ βιβλίῳ γεγραμμένα ἀναγνῶcθαι καὶ ταῦτα. || v. 11 εἰκονίcειε] corr. Hercher, εἰκονίζεται *A*, εἰκονιcοι *L*, εἰκονίcη ceteri || v. 12 καὶ post ἐπεὶ add. *ALP* || v. 13 νόμοιc] sic *L*, μόνοιc *ACP*, λόγοιc *R* || v. 14 pro cιγῆc H. suspicatur τύχηc vel δίκηc ||

νον αὐτοὶ καθ' ἑαυτοὺς οἱ σεισμοὶ βλάπτουσι τοὺς
καθ' ὧν συμβαίνουσιν, ἀλλὰ μὴν καὶ ἄλλων πόρρω
C που τόπῳ τε καὶ χρόνῳ μεριζομένων γίνονται μηνυ-
ταὶ οὐ μετρίων κακῶν. ὅτι δὲ οὕτω καὶ οὐκ ἄλλως
τὴν τυχηρὰν ὁ περὶ αὐτῶν λόγος φεύξεται σύμβασιν,
ἐκ τῶν ὑποκειμένων γνῶναι δυνατόν. αὐτὸς γὰρ Βι-
κέλλιος ὁ Ῥωμαῖος ἐκ τῶν Τάγητος στίχων (περὶ οὗ
καὶ Ἀπουλήϊος ὕστερον πλατεῖ καὶ ἐλευθέρου ποδὸς 351
ἀφηγήσατο λόγῳ) ταῦτα ῥήμασιν αὐτοῖς καθ' ἑρμη-
νείαν φησίν.

D 55. Ἥλιος κριῷ. ἐὰν γένηται σεισμὸς ἐπὶ μὲν
τῆς Ἀσίας, κακὸν τῇ Συρίᾳ τῇ κοίλῃ καὶ τῇ Παλαι-
στίνῃ καὶ τῇ Ἰουδαίᾳ ἀπειλεῖ, ἐπὶ δὲ τῆς Εὐρώπης
192 A Βρετανníαις, Γαλατίαις, Γερμανίαις, Βαστάρναις. οἱ
δὲ βασιλεῖς στρατεύσονται κατὰ τῶν πολεμίων, ἀλλ'
οὐκ εὐτυχῶς· ἐλαττωθέντων γὰρ αὐτοῖς τῶν στρα-
τευμάτων οἱ στρατηγοὶ ἄπρακτοι ἀναζεύξουσι. πλείων

v. 3 τόπῳ τε καὶ χρόνῳ] sic *L*, τρόπων τε καὶ χρόνων *P*, τόπων τε καὶ χρόνων ceteri || ante γίνονται *L* add. κακῶν et om. postea οὐ μετρίων κακῶν || v. 4 μετρίων] μικρῶν *A* || v. 5 αὐτὴν *AP*, αὐτὸν *L* || v. 6 βικέλιος *AP*, βεκέλλιος *L* || v. 8 ante πλατεῖ in *P* spatium 7 litterarum || ποδὸς transponit *L* ante καὶ || ἐλευθέρῳ *ACLP* || πόδες *C* || v. 9 ἀφηγήσαντο *CP* || v. 10 φασὶν *P* || v. 11 ἥλιος — σεισμὸς] ἡλίου ἐν τῷ κριῷ. ὁπόταν ἡλίου ὄντος ἐν τῷ κριῷ σεισμὸς γένηται *A*, ὁπόταν ἡλίου ὄντος ἐν κριῷ σεισμὸς γένηται. ἥλιος κριῷ rubr. *P* || ante κριῷ *L* add. ἐν et sic semper || v. 12 τῇ κοίλῃ Συρίᾳ *A*, τῇ κοιλίᾳ Συρίᾳ *P* || v. 14 βρετανία, γαλατία, καὶ βαστέρνα, γερμανία *L* || Βαστάρναις corr. H. coll. p. 52 v. 12 et titulo Plauti Silvani ap. Gruterum p. CCCCLIII, in quo est BASTARNARVM, βασταρνίαις *AP*, βαστέρναις *CR* || v. 17 ἐπαναζεύξουσι *L* || πλεῖον *L* ||

δὲ ἔσται ἐπὶ τῆς ἀνατολῆς ἡ τῶν ἀνδρῶν βλάβη παρὰ τὰς γυναῖκας, ὅτι ἄρρεν ζῴδιον ὁ κριός.

Ἥλιος ταύρῳ. εἰ σάλον συμβαίη γενέσθαι ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Πέρσαις, καὶ Αἰθίοψι τοῖς παρ' B Ἰνδὸν ποταμὸν τῇ τε παραλίᾳ τῆς μικρᾶς Κυκλάσι τε καὶ Κύπρῳ ταῖς νήσοις ὄλεθρος ἐπικείσεται λοιμώδης, ὥστε καὶ αὐτὰ τὰ ὑποζύγια τῶν εἰρημένων χωρίων φθαρῆναι· ἐκπύρωσίς τε αὐτοῖς βαρεῖα καὶ λοιμώδης, ἐκτροπαί τε ποταμῶν ἄσχετοι συμβήσονται, καὶ ἐπὶ τοῦ θέρους λεῖψις τῶν ποταμίων ὑδάτων. ταῖς δὲ θήλεσι τῶν ζῴων, λογικῶν τε καὶ ἀλόγων, πλείων ἡ βλάβη, ὅτι θῆλυ ζῴδιον ὁ ταῦρος.

Ἥλιος διδύμοις. εἰ κίνημα γῆς ὁπουδήποτε C συμβήσεται, ἐπὶ μὲν τῆς μεγάλης Ἀσίας Ὑρκανίαν, 352 Ἀρμενίαν ἑκατέραν, Ἀμαδιανήν, ἐπὶ δὲ Λιβύης ἢ μᾶλλον Εὐρώπης (ὅτι μέρος Εὐρώπης Λιβύη) Μαρμαρικὴν καὶ Νασαμωνίτιδα καὶ ἁπλῶς τὴν παρατετα-

v. 1 ἔσται om. *A*, ἔσεσθαι *L* || ἡ τῶν] sic *L*, κατ' ceteri || βλαβὴ ἢ γυναίων *R* || παρὰ] ἐπὶ *L* || v. 2 post κριός *L* add. ἐστὶ || v. 3 ἡλίου ἐν τῷ ταύρῳ *A* et sic semper, ἥλιος ἐν ταύρῳ *L* et sic semper || εἰ — γενέσθαι] om. *AP* || γενέσθαι συμβήσεται *L* || v. 4 Πέρσαις addidi ex *L* || v. 5 τῇ τε παραλίᾳ τῆς μικρᾶς] om. *L* || v. 6 Κύπρῳ ταῖς] πρώταις *L* || v. 8 ἔσται add. ante αὐτοῖς *L* et om. βαρεῖα || v. 9 συμβήσονται add. *R* || v. 10 ἐν θέρει λείψεις *L* || v. 11 θηλυίαις *L* || v. 12 πλείων ἡ] om. *L* || post βλάβη *L* add. γενήσεται || post ταῦρος add. ἐστίν *L* || v. 13 εἰ — συμβήσεται] om. *AP* || ὁπουδήποτε corr. H. pro ὁποιδήποτε || v. 14 συμβῇ γενέσθαι *L* || v. 15 ἑκατέραν ante Ἀδιαβηνὴν repetit *P* || Ἀμαδιανήν scripsi coll. p. 53 v. 14 et p. 258 A, Ἀδιαβινήν *AP*, Ἀδιαβηνήν *C*, om. *L* || v. 16 Μαρμαρικὴν om. *P* || v. 17 ἀσαμωνίτιδα *AP*, νασαμονιτίδα *L*, ἀμμωνίτιδα *R* ||

μένην ταῖς μεγάλαις Cύρτεςι ξηρὰν ἔςχατος περιςτήςεται λιμός, ὥςτ' ἐξ ἀνάγκης τοῖς λογάςι τῶν χωρῶν ἐπαναςτήςεται τὸ πλῆθος ἐξωθῆςαι αὐτούς. ἐκ δὲ τῶν D ςυμφορῶν οὐδεὶς οὐδενὶ ἔςται πιςτός, οὐδὲ μητέρες τέκνοις. πτώςεις τε καὶ ἀφανιςμοὶ οἴκων, ἐμπρηςμοί τε βαρεῖς. τύραννος πρὸς τούτοις ὠμότατος ταράξει τοὺς νόμους, ὡς μηδὲ αὐτῶν τῶν ἱερῶν φείςαςθαι. τὰ δὲ τῶν ςυμφορῶν τοῖς ἄρρεςι τῶν ζῴων, καὶ λο- 194 A γικῶν διαφερόντως, πλέον ἐπιπεςεῖται, ὅτι ἄρρεν καὶ ἀνθρωποειδὲς τὸ ζῷον οἱ δίδυμοι.

56. Ἥλιος καρκίνῳ. εἰ ςάλον ἐπιγενέςθαι ςυμβαίη καθ' ὅντινα οὖν τόπον, ἐπὶ μὲν τῆς ἄνω B Ἀςίας τὰ προςεχῆ Πέρςαις ταραχθήςεται, νόςοι τε λοιμώδεις ἐμπεςοῦνται τοῖς ςώμαςι τῶν ἐν αὐτοῖς ἐνδόξων, ὡς ἐρήμους ἀρχόντων γενέςθαι τὰς πόλεις αὐτῶν. οἱ δὲ μετ' αὐτοὺς τῶν πραγμάτων ἀνθεξόμενοι, ψήφῳ τοῦ πλήθους καὶ αὐτῶν ἀρίςτων ἀφελκύςουςι τὰ τέκνα τῶν γονέων, καὶ ἀποδῶνται μακράν. ἐπὶ δὲ τῆς κάτω Ἀςίας Βιθυνία Φρυγία τε πᾶςα, καὶ Εὐρώπης μὲν ἡ Κολχική, ἣν νῦν προςαγορεύουςι Λαζικήν, Λιβύης δὲ ἡ μέχρι Νουμιδίας

v. 1 Cύρτιςι *A*, ςύρταιςι *P* || v. 2 ὥςτ' corr. Hercher pro ὡς || v. 3 ἐπαναςτῆναι *CPR* || v. 4 hinc *L* exhibet formam contractam || ante οὐδὲ H. addidit ἀλλ' || μητράςι τέκνα *A* || v. 5 καὶ add. ante ἐμπρηςμοί *A* || v. 6 ὠμότατα *A* || v. 8 pro τὰ H. suspicatur τὸ || v. 12 ςυμβαίνει *A* || v. 13 ταραχθήςεται corr. Hercher pro ταραχθήςονται || v. 17 ψόφῳ *CP* || H. post αὐτῶν addi mavolt τῶν || ἀφελκύςωςιν *CP*, ἀφελκύςαντες *R* || v. 18 καὶ om. *R* || μακρὰν transponit *R* ante ἀποδῶνται || ἀποδῶνται] sic corr. H., ἀποδόνται *P*, ἀπόδονται *C*, ἀπολοῦνται *A*, ἀποδώςουςιν *R* || v. 19 τῆς κάτω Ἀςίας] sic scripsi ex *A*, τῇ κάτω Ἀςίᾳ *PR*, τῇ κάτω *CL* || v. 20 Εὐρώπη *A* || v. 21 Λιβύη δὲ καὶ ἡ *APR* || ἡ ante μέχρι om. *L* || Νουμηδίαν *A* ||

353 Ἀφρικὴ τοῖς αὐτοῖς ὁμιλήσει κακοῖς. ἐκλείψεις τε C σεληνιακαὶ ἔσονται, ὅτι σελήνης οἶκος ὁ καρκίνος. πλείων δὲ ὕβρις γυναιξὶ γενήσεται, καὶ διαφερόντως ταῖς ἑταιριζομέναις, ὅτι θῆλυ ζῴδιον ὁ καρκίνος, καὶ Ἀφροδίτης, ὅτι ταὐτὸν Ἀφροδίτη σελήνῃ.

Ἥλιος λέοντι. ἐὰν σάλος γένηται, οὐκ ἀγαθὸν ἐπὶ μὲν τῆς Ἀσίας Φοινίκῃ πάσῃ καὶ Ὀρχηνίᾳ, ἐπὶ δὲ τῆς Εὐρώπης Ἰταλοῖς τε καὶ Σικελοῖς καὶ Γάλλοις, ἔτι γε μὴν καὶ Λιβύῃ πάσῃ οὐκ ἀγαθόν· τὰ γὰρ D βοσκήματα λιμῷ φθαρήσεται, ἐπομβρία δὲ ἔσται καὶ ἀκρίδων νέφη. ὁ δὲ λεγόμενος βροῦχος τοῖς καρποῖς λυμανεῖται, φθοραὶ δὲ ἔσονται ἀνδρῶν, ὡς πάντα ἐγγὺς μονωθῆναι τὰ συνοικέσια. οἱ δὲ λέοντες ἐν οἷς γίνονται χωρίοις φονικωτέρως κατ᾽ ἀνδρῶν ὁρμή- 196 A σουσι· τοῖς δὲ ἐν οἷς οὐ πεφύκασι φαίνεσθαι, πυρετὸς ὀξὺς ἐπιπεσεῖται. οἱ δὲ ἄρρενες πλεῖον αἰσθήσονται βλάβης, καὶ μάλιστα οἱ πρὸς ἀνίσχοντα ἥλιον, ὅτι ἄρρεν καὶ ἡλιακὸν ζῴδιον ὁ λέων.

Ἥλιος παρθένῳ. ἡλίου ἐπὶ τὴν παρθένον

v. 1 ἔκλειψις τε σεληνικὴ ἔσεσθαι *L* ‖ τε] δὲ *A* ‖ v. 2 σελήνη οἶκος καρκίνου *A* ‖ post καρκίνος *L* add. ἔστιν ‖ v. 3 πλεῖον δὲ αἱ ὕβρεις ταῖς γυναιξὶ γενήσονται *L* ‖ v. 5 Ἀφροδίτης] Ἄρης *A* ‖ ὅτι] καὶ *L* ‖ σελήνῃ] καὶ σελήνη *L*, σελήνης *R* ‖ v. 6 ἐὰν — ἀγαθὸν] om. *AP* ‖ post σάλος *L* add. γῆς ‖ v. 7 φοινίκη πᾶσα καὶ ὀρχηνία *LP* ‖ v. 8 τε om. *L* ‖ καὶ Γάλλοις] γάλοις *LP* ‖ v. 9 λιβύη πᾶσα *L* ‖ γὰρ] δὲ *L* ‖ v. 10 λοιμῷ *P* ‖ φθαρήσονται *AP* ‖ v. 11 ὁ δέ γε βροῦχος *AP* ‖ τοὺς καρποὺς *L* ‖ v. 12 πάντων ἐγγυμνωθῆναι *PRS* ‖ v. 13 τοῖς add. ante ἐν *P* ‖ v. 14 φοινικώτεροι *L* ‖ v. 15 φαίνεσθαι om. *L* ‖ πυρὸς *C* ‖ v. 16 πλείονος αἴσθονται *L* ‖ v. 17 μάλιστα] μᾶλλον *L* ‖ προσανίσχοντες ἡλίῳ *A* ‖ v. 18 post λέων *L* add. ἐστίν ‖ v. 19 ἡλίου — ἰόντος] om. *ALP* ‖

ἰόντος εἰ cάλος γένηται, Ἑλλὰς Ἀχαΐα Κρήτη Βαβυ-
B λὼν Μεcοποταμία Ἀccυρία τε καὶ Κυκλάδες νῆcοι οὐ μετρίαις περιπεcοῦνται cυμφοραῖc· χάcματα γὰρ κατ' αὐτὰc γενήcεται, οἵ τε γονεῖc θρηνήcονται τοὺc ἑαυτῶν παῖδας· οὐχ ἥκιcτα δὲ χειμῶνες ξηροὶ καὶ παρθένων ἀνδραποδιcμοί. ἡ δὲ ἐλαία πρὸc τοῖc ἄλλοιc τοῦ φθινοπώρου καρποῖc ἐπιτεύξεται. τὰ δὲ κακὰ 354
ταῖc θηλείαιc μᾶλλον τῶν ζῴων ἢ τοῖc ἄρρεcι cυμβήcεται, ὅτι θῆλυ ζῴδιον ἡ παρθένοc.

C 57. Ἥλιοc Ζυγῷ. εἰ κατὰ τόδε καιροῦ cειcμὸc γένηται, ἐπὶ μὲν τῆc ἄνω Ἀcίαc Βακτρία Καcπία Cηρική, ἐπὶ δὲ Λιβύηc Τρωγλοδυτικὴ Θῆβαί τε Αἰγύπτιαι καὶ πρὸc αὐταῖc Ὄαcιc οὐ μετρίωc cτυγνάcουcιν. οἱ γὰρ κρατοῦντες καταπράξονται τῶν εἰρημένων χωρίων, ὡc ἐξ ἀπογνώcεωc τὸ πλῆθοc ἐπαναcτῆναι αὐτοῖc. τὰ δὲ ἱερὰ παραβαθήcεται οὕτω βεβήλωc ὡc μηδένα τυχεῖν τῶν εὐχῶν. καὶ οἱ μὲν αὐτόχθονες πόρρω που τῶν ἐνεγκουcῶν ἐλαθήcονται,
D cτρατεύμαcι δὲ βαρβαρικοῖc οἱ εἰρημένοι ταραχθήcονται τόποι. λιμὸc ἄρα· πῶc γὰρ οὐχί; καὶ ἐλαττουμένηc πανταχοῦ τῆc ἀνδρικῆc φύcεωc, ὅτι ἄρρεν ζῴδιον ὁ Ζυγόc.

v. 1 εἰ — γένηται] om. *A* || βαβυλωνία *L* || v. 2 τε καὶ] om. *ALP* || v. 3 μετρίοιc *A*, μετρίωc *L* || πεcεῖται *L* || v. 4 γενήcονται *L* || οἵ τε] καὶ οἱ *L* || θρηνήcουcι *ALPR* || v. 9 post ζῴδιον *L* add. ἐcτὶν || v. 10 εἰ — γένηται (v. 11)] om. *AP* || v. 11 βακτριανὴ *L* || Καcπία] fortasse Καcία cf. p. 96 C || v. 12 Cιρική *A*, cυρικὴ *L*, cερικὴ *P*, Cυρία *R* || v. 13 αὐτὰc *L* || v. 14 καταπράξωνται *P* || v. 15 ὡc ἐξ] ὥcτε *L* || ἐπαναcτήcεται *A* || v. 16 παραβαθήcονται *A*, παραβλαβήcονται *L* || v. 19 γράμμαcί (corr. ex κάμμαcί) τε βαcιλικοῖc *L* || v. 20 λοιμὸc *AP* || οὖν ante ἄρα add. *CLR* || ἐλαττωθήcεται πανταχοῦ ἡ ἀνδρικὴ φύcιc *L* || v. 22 post ζῴδιον *L* add. ἐcτὶν ||

Ἥλιος σκορπίῳ. ἐπὶ τὸν σκορπίον ἡλίου διαβαίνοντος εἰ σάλον γενέσθαι συμβαίη, ἐπὶ μὲν τῆς 198 A ἄνω Ἀσίας Συρία μέση ἤτοι Κομμαγηνὴ καὶ Κασπία, ἐπὶ δὲ Εὐρώπης Ἰταλία καὶ Τυρσηνία καὶ ἕως δύνοντος ἡλίου Μαυρουσία τε καὶ Γαιτουλία ἐμπρησμοῖς ἀσχέτοις ἐκτεφρωθήσονται, οὐδ' αὐτῶν τῶν ἱερῶν περισωζομένων τοῖς τόποις. πόλεμοί τε ἔσονται ἀτυχεῖς τῇ νεολαίᾳ, ἐπικερδεῖς δὲ τοῖς στρατηγοῖς· βάρβαροι δὲ καθέξουσι Ῥωμαίοις ἀνήκοντα χωρία. πλείων B δὲ ἡ κατὰ γυναικῶν τοῖς πράγμασι ζημία, ὅτι θῆλυ ζῴδιον ὁ σκορπίος.

355 Ἥλιος τοξότῃ. ὅταν ὁ ἥλιος ἐπὶ τὸν τοξότην ἔλθῃ, εἰ σεισμὸν συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς μεγάλης Ἀσίας τῇ εὐδαίμονι Ἀραβίᾳ, ἐπὶ δὲ τῆς Εὐρώπης Τυρσηνίᾳ Κελτικῇ καὶ Ἱσπανίᾳ βλάβαι οὐχ αἱ τυχοῦσαι συμβήσονται. φθαρήσεται γὰρ λιμῷ τὰ βοσκήματα, ὁ δὲ ὠκεανὸς παρὰ τὸ πεφυκὸς ἐκχυθήσεται ὡς καὶ αὐτὴν Κάλπην ἐπικλυσθῆναι, πόλεις τε C κατομβρίᾳ κινδυνεύσουσιν. ἡ δὲ ἀνδρεία φύσις ἐξ ἐν-

v. 1 ἐπὶ — συμβαίη (v. 2)] om. *AP*, εἰ σάλος γῆς γενήσεται *L* || v. 3 ἄνω om. *L* || ἤτοι] ἢ *A* || κώμης ἀγίνη *C* || v. 4 τυρνησία *R* || v. 5 γετουλία *AL* || v. 6 ἐκτεφρωθήσεται *P* || v. 9 καθέξωσιν *C* || post ἀνήκοντα χωρία transponunt Ῥωμαίοις *AP* || προσανήκοντα *L* || πλεῖον δὲ κατὰ τῶν γυναικῶν ἐν τοῖς πράγμασιν ἡ ζημία ἔσεσθαι *L* || v. 11 ante ζῴδιον *P* add. τὸ || post ζῴδιον *L* add. ἐστὶν || v. 12—13 ὅταν — γενέσθαι] om. *AP* || ὅταν — ἔλθῃ] om. *L* || εἰ — γενέσθαι] om. *C*, ἐὰν σεισμὸς γεννήσεται *L* || v. 14 μεγάλης] μέσης *L* || ἡ εὐδαίμων ἀραβία *LP* || v. 15 τυρσηνία, κελτικὴ καὶ ἰσπανία *LP* || βλάβαις ἐν αὐταῖς οὐ ταῖς τυχούσαις περιπεσεῖται *L* || v. 16 φθαρήσονται *L* || v. 18 Κάσπιν *R*, Κάλπιν *AP* || v. 19 ἤ τε *ALP* || ἀνδρῷα *AP* ||

δείας τῶν ἀναγκαίων πανταχοῦ φθαρήσεται, ὅτι ἄρρεν ζῴδιον ὁ τοξότης.

58. Ἥλιος αἰγόκερῳ. ὅταν δὲ ἥλιος ἀποστρέφων ἀπὸ τοῦ νοτίου καμπτῆρος ἐπὶ τὸν αἰγόκερων ἔλθῃ, εἰ σεισμὸν συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας πᾶσα ἡ Ἰνδικὴ Ἀριανή τε καὶ Γεδρωσία,
D ἐπὶ δὲ τῆς κάτω Φρυγία τε πᾶσα καὶ Ἑλλήσποντος, ἐπὶ δὲ τῆς Εὐρώπης Μακεδονία καὶ Θρᾴκη πρὸς τῷ Ἰλλυρικῷ ἕως Ἴστρου ποταμοῦ οὐ μετρίως ταραχθήσονται πρὸς τῶν πλησιοχώρων, καὶ οἱ χείμαρροι τὰ λήϊα καταχώσουσι, προσεπιλοιμωττόντων τῶν βο-
200 A σκημάτων. ἐμφύλιοί τε πόλεμοι ἔσονται, ὀνείρων δὲ καὶ μαντευμάτων ψευδὴς ὄχλος· ἐνιαχοῦ δὲ καὶ πόλεις ἀθρόως καταποντισθήσονται.

Ἥλιος ὑδροχόῳ. ἡλίου ἐπὶ ὑδροχόον ἰόντος εἰ γένηται σεισμός, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Ὀξιανὴ Σογδιανὴ Ἀραβία μικρὰ καὶ Ἀζανία, ἐπὶ δὲ τῆς Λιβύης Αἰθιοπία μικρά, τῆς δὲ Εὐρώπης ἡ Θρᾴκη ἕως Ἰλλυ-

v. 2 τὸ add. *C* ante ζῴδιον || post τοξότης add. *L* ἐστίν || v. 3 ὅταν — γενέσθαι (v. 5)] om. *AP* || ὅτε *L* || ὁ ἥλιος *L* || v. 5 σεισμὸς γέννηται *L* || v. 6 ἡ Ἰνδική] ἰδικὴ *L* || ἀδριανή *AP*, ἀνδριανή *L* || καὶ post τε om. *LP* || γεδρουσία *APR*, γερουσία *L* || v. 7 τε ante πᾶσα om. *AP* || v. 8 τῆς om. *L* || Θράκη καὶ Μακεδονία *L* || καὶ ante Θρᾴκη om. *AP* || v. 9 ταραχθήσονται post πλησιοχώρων transponit *L* || v. 10 πρὸς] παρὰ *L* || v. 11 προσεπιλιμωττόντων *AP* || v. 13 ὁ add. *C* ante ὄχλος || καὶ ante πόλεις om. *AP* || v. 15 ἡλίου — ἰόντος] om. *ALP* || v. 16 εἰ — σεισμὸς] om. *AP*, εἰ σεισμὸς γένηται *L* || ὀξιανὴ] sic corr. H. coll. p. 258 C, ὀξινι *C*, ὀξίνη *ALPR* || v. 17 Σογδιανὴ] sic corr. H. coll. p. 258 C, σουβδιανη *C*, σουγδιανὴ *APR*, om. *L* || καὶ Ἀζανία] om. *L* || ἀζονία *AP* || ἐπὶ — μικρὰ (v. 18)] addidi ex *P* et *L* (qui tamen habet αἰθιοπίαι μικραί) ||

ρικοῦ cφόδρα ταραχθήcονται· πόλεμοι γὰρ βαρεῖc
356 ἐπιπεcοῦνται ταῖc χώραιc. τῇ δὲ Μακεδόνων χώρᾳ B
τὰ χείριcτα cυμβήcεται, ὡc ἐγγὺc ἀφανιcμοῦ γενέcθαι.

Ἥλιοc ἰχθύcιν. ὅταν δὲ ἰχθύcι γένηται ἥλιοc, ἐὰν cυμβῇ cάλοc, ἐπὶ μὲν τῆc κάτω Ἀcίαc ἡ καθ' ἡμᾶc Λυδία Κιλικία τε καὶ Παμφυλία, ἐπὶ δὲ ΛιβύηcΝαcαμωνῖτιc καὶ Γαραμαντικὴ ὑπὸ πολεμίων ξένων τε καὶ ἐμφυλίων δηωθήcονται. αἱ δὲ πρὸc τῷ Πόντῳ κείμεναι πόλειc καὶ τὰ ἐπίνεια πειρατικαῖc ἐφόδοιc ταρα-
χθήcονται, οἱ δὲ δῆμοι τῶν εἰρημένων χωρῶν μηδε- C
μιᾶc ὑποκειμένηc αἰτίαc κατ' ἀλλήλων ἐξενεχθήcονται· κατομβρίαι τε ἔcονται οὐχ ἧττουc κατακλυcμοῦ, καὶ εὐχαὶ ἄπρακτοι καὶ ἔνδεια τροφίμων καρπῶν. ἐκ δὲ τῆc περὶ τὴν γῆν ὑγρότητοc ὁ cπόροc ἄχρηcτοc, ἡ δὲ θάλαccα ταραχώδηc καὶ ἐγγὺc ἄπλουc. ἐκ δὲ παραδόξου μετ' οὐ πολὺ τὰ πράγματα ἐπὶ τὸ βέλτιον ἔcται, καὶ cυντόμωc εἰπεῖν ἀναλόγωc τοῖc κακοῖc εὐφροcύνη.

v. 3 χείρονα *L* || γενέcθαι] ἔcται *APR* || v. 4 ὅταν — ἥλιοc] om. *ALP* || v. 5 ἐὰν cάλοc γῆc γένηται *L* || ἐὰν] εἰ *CPR* || v. 6 post ἐπὶ addidi δὲ cum *ALP* || Ναcαμωνῖτιc *A*, ναcαμωνίτηc *R*, ναcαμονίτιc *P*, ναcαμανίτηc *L* || v. 7 τε ante ξένων transponunt *AP* || ξένων om. *L* || v. 8 διωχθείcονται *L* || τῷ om. *L* || Πόντῳ] πόντον γαλατία *L* || v. 9 ante ἐπίνεια cum *L* addidi τὰ || v. 11 ἐπικειμένηc *R* || v. 13 καὶ ante ἔνδεια om. *AP* || τροφῶν *L* || ante καρπῶν *A* add. τε καί, *L* καί, *P* τε || v. 14 ὑγρότηc *C* || v. 15 ἄπλουc] sic etiam *R*, sed prim. man. superscr. ἄπλωτοc || v. 16 μεθ' οὗ *P* || βέλτερον *A* ||

202 ЄΦΗΜЄΡΟϹ ΤΟΥ ΠΑΝΤΟϹ ЄΝΙΑΥΤΟΥ 357

ΗΓΟΥΝ ϹΗΜЄΙΩϹΙϹ ЄΠΙΤΟΛΩΝ ΤЄ ΚΑΙ ΔΥϹΜΩΝ ΤΩΝ ЄΝ ΟΥΡΑΝΩ ΦΑΙΝΟΜЄΝΩΝ

ЄΚ ΤΩΝ ΚΛΑΥΔΙΟΥ ΤΟΥ ΘΟΥϹΚΟΥ

ΚΑΘ' ЄΡΜΗΝЄΙΑΝ ΠΡΟϹ ΛЄΞΙΝ

A ΙΑΝΟΥΑΡΙΟϹ

59. α΄. Καλένδαις μακραὶ ἡμέραι ἄρχονται· ὁ ἥλιος ὑψοῦται, ὁ δ᾽ ἀετὸς σὺν τῷ στεφάνῳ δύεται καὶ ποιεῖ χειμῶνας.

β΄. τῇ πρὸ δ΄ νωνῶν Ἰανουαρίων ὁ μὲν ἥλιος

